καὶ ἔσται ἐρυθρόν, καλόν. καὶ ἐπίρριψον ἐκ τούτου τοῦ ἐρυθροῦ μέρος ἓν ἐπὶ πεντήκοντα κασσιτέρου, καὶ ἔσται χρυσὸς διαμένων εἰς αἰῶνας. καὶ αὕτη ἐστὶν ἡ ἰατρεία ἡ μεταβάλλουσα εἰς χρυσὸν καὶ ἄργυρον ἐν μιᾷ ὥρᾳ. οὗτός ἐστιν ὁ λίθος, ὃν ἀπέκρυψαν οἱ φιλόσοφοι, μεθ' οὗ ἐζωοποίησαν τοὺς λίθους, ὧν αἱ φύσεις εἰσὶν χυδαῖαι, καὶ μετήγαγον αὐτοὺς εἰς φύσιν συγκερασμένην. καὶ ὅστις ἅπαξ ποιήσει ταύτην τὴν πρᾶξιν, οὐ δεηθήσεταί του ἑτέρου. ὅθεν καὶ ἔστι τιμιώτερος ἐκ τῶν λίθων, ὧν οἱ φιλόσοφοι ἐπῄνεσαν.

LXXXV, 1. Λάβε ἑρμῆν τετράκις ἀναβιβασμένον, ὡς κατωτέρω διαληφθήσεται, καὶ ἁλὸς ἀμμωνιακοῦ ἅπαξ ἀναβιβασμένου ἀνὰ οὐγ. τέτταρας. ταῦτα τὰ δύο μῖξον δίχα τινὸς ἑτέρας μίξεως, καὶ ἀναβίβασον ἅπαξ μόνον. εἶτα λείωσον, καὶ θὲς ἐν τόπῳ καθύγρῳ καὶ νοτερῷ μετὰ ἀγγείου ὑελίνου ἢ ὑπὸ κόπρον, ἕως οὗ λυθῶσιν καλῶς. καὶ ὅταν λυθῶσιν καλῶς, διήθησον διὰ πηλοῦ, καὶ μετ' ὀλίγον ἐκ τοῦ τοιούτου ὕδατος κήρωσον οὐγ. τέτταρας ἀρσενικοῦ ἀναβιβασμένου, ὡς κατωτέρω διαληφθήσεται, καὶ ἕψε πρὸς ὀλίγον. εἶτα θὲς ἐν τῷ προειρημένῳ ὕδατι τὸν ἑρμῆν καὶ τὸ ἅλας τὸ ἀμμωνιακόν, καὶ ἔασον ἵστασθαι, ἕως οὗ λυθῶσιν, ὃ ταχέως γενήσεται. καὶ τὸ αὐτὸ ποίησον εἰς τέτταρας οὐγ. θείου ἀναβιβασμένου λευκοῦ, ὡς κατωτέρω διαληφθήσεται, ὥσπερ εἰς τὸ | ἀρσενίκιον ἐποίησας. καὶ ὅταν F. 73v τὸ προειρημένον ὕδωρ τελειωθῇ καλῶς καθαρόν, λάβε οὐγ. τέτταρας σελήνης τετιτανωμένης, ὡς κατωτέρω διαλαμβάνεται, καὶ κήρωσον μετὰ τοῦ προειρημένου ὕδατος, ἕως οὗ λυθῇ. εἶτα πῆξον ἐν ἀγγείῳ ὑελίνῳ παλαιῷ κεχρισμένῳ πηλῷ σοφιστικῷ ἐν στάκτῃ θερμῇ, καὶ ἔσται σῶμα λευκότατον εἰς τρόπον κρυστάλλου. ἐξ οὗ ἐπίβαλε μέρος ἓν ἐπὶ μέρη τετταράκοντα κούπρου κεκαθαρμένου, ὡς κατωτέρω διαληφθήσεται, καὶ ἔσται λευκὸν κρειττόνως παρὰ τὸ φυσικόν, καὶ ὑπομένει

4 τοὺτος R **7** ἅπαξ] α' R, ἂν N **9** ἐπἔνέσἀν R **10** κατέρώ R, κατέρω (τω) N **13** ἀνάβασον RN, sed N in marg. ἴσως ἀνάβρασον μὸνον R, δῖνον N **18** cf. cap. LXXXV, 6 **19** ἕσον R **21** κατωτέρω cf. LXXXV, 5 **23** τελιοθί R, τελεσθῇ N cf. cap. LXXXV, 8 **24** κατωτέρω cf. cap. LXXXV, 7 **26** παλαιῷ] παλυ (χ) R, πηλῷ N **27** τρόπον R, τόπον N **28** ἐπίβαλον **29** κατωτέρω cf. cap. LXXXV, 9 **30** cf. p. 266, 22 λευκ' R, ἔσται λεπτὸν N κριτάνος R = *melius*; igitur κρεῖττον? το φυσικῶν R, τὸ φυσικὸν N

quod diximus; et erit rubrum et pulcrum. Et huius rubri <argenti> inice partem unam quinquaginta stanni partibus, et erit aurum perenne.

Haec est medicina convertens in aurum et argentum in unius horae spatio; hic est lapis, quem occultaverunt philosophi, cuius ope vivos effecerunt lapides, quorum naturae sunt vulgares, et ipsos ad naturam commixtam et temperatam adduxerunt. Qui vero semel hanc operationem fecerit, non alia re egebit : quocirca hic lapis omnium <lapidum> optimus est, quotquot philosophi laudaverunt.

LXXXV, 1. Sume hydrargyri quater elevati, ut mox declarabimus, et salis ammoniaci semel elevati uncias quattuor ana. Haec duo commisce absque alia mixtione, et semel tantum eleva. Postea tere, et pone in loco humido in vase vitreo seu sub fimum, donec bene solvantur. Et cum bene soluta sint, cola per lutum; et parva huiuscemodi aquae vi cera uncias quattuor arsenici elevati, ut mox declarabimus, et coque aliquantum. Postea pone in aqua, quam diximus, hydrargyrum et sal ammoniacum, et ibi sine stent, donec solvantur — quod cito fiet. Quattuor uncias sulphuris albi et elevati, ut mox declarabimus, eadem pertracta ratione qua arsenicum. Et cum aqua, quam diximus, bene pura perfecta sit, sume uncias quattuor argenti calcinati, ut mox declarabimus, et cera per hanc ipsam aquam, donec solvatur. Postea compinge in vase vitreo vetere, quod luto sophistico unxeris, in cinere calido; et erit corpus maxime album crystalli instar. Cuius inice partem unam partibus quadraginta cupri purgati, ut mox declarabimus; et erit album magis quam in natura, et omnem perferet

πᾶσαν δοκιμήν. καὶ εἰ αὖθις λύσεις καὶ πήξεις, διπλασιασθήσεται, καὶ καθαρώτερον λυθήσεται. καὶ ἴσθι ὅτι ὀφείλει ἡ εἰρημένη ἰατρεία τεθῆναι ἐπὶ πετάλων πεπυρωμένων. καὶ εἰ δράμῃ δίχα καπνοῦ, καλῶς ἔχει, εἰ δὲ μή, δευτέρωσον τὴν πῆξιν μετὰ τῆς ἀναλύσεως.

LXXXV, 2. Καὶ εἰ εἰς ἐρυθρὸν ἔργον θελήσεις, μίσγε ἐρυθρότητα θείου εἰλημμένου διὰ συντρίψεως καί τινος ὕδατος ὀξέος. καὶ ὁ ἑρμῆς καὶ τὸ ἀμμωνιακὸν ἅλας καὶ τὸ θεῖον ἔστωσαν ἠρυθρημένα ὕδατι ἀτραμέντου ἢ ἄλλαις ἐρυθρότησιν. καὶ οὕτω λῦσον καὶ σύμμιξον, ὡς ἀνωτέρω. ἐν τόπῳ τῆς τιτάνου τῆς σελήνης τίθει τίτανον χρυσοῦ.

LXXXV, 3. Ἀνάβασις ἑρμοῦ ἐν τιτανωμένῳ ἔργῳ. λάβε ἑρμοῦ λίτραν μίαν, ἁλὸς κοινοῦ λίτραν μίαν, καὶ σωμάτωσον αὐτὰ μετὰ ἰσχυροτάτου ὄξους, ἐν ᾧ ἔστωσαν ἀναλελυμέμαι ὀγ. δύο ἁλὸς ἀμμωνιακοῦ, καὶ εἰς ὀγγίας δύο ἀλοῦμεν γιεμένης...., καὶ τοσοῦτον λείωσον, ἕως οὗ φανῇ ὁ ἑρμῆς ἐξ αὐτοῦ οὐδέν. | εἶτα θὲς ἐν τῷ ἀναβιβαστηρίῳ, καὶ τοσαυτάκις ἀναβίβασον ἕως οὗ ὁ ἑρμῆς οὐδὲν φανῇ, ὡς γενήσεται ἐν τῇ τρίτῃ φορᾷ. εἶτα ἀναβίβασον μετὰ τοσαύτης τιτάνου ὀστέων, μηδενὸς ἄλλου προστιθεμένου, καὶ ἔσται ὥσπερ κρύσταλλος στερεός. F. 74.

LXXXV, 4. Ἀνάβασις ἀρσενικίου ἐν τῷ προειρημένῳ ἔργῳ τοιαύτη ἐστί. λάβε ἀρσενίκιον σχιστόν, λίτραν μίαν, λεπίδας χαλκοῦ ἢ σιδήρου καὶ ψυμίθιον ἀνὰ ὀγ. τέτταρας, ἁλὸς κοινοῦ λίτραν μίαν. ἕκαστον καθ' ἑαυτὸν λείωσον, εἶτα ἕνωσον ὁμοῦ, καὶ ἕψε ἰσχυροτάτῳ ὄξει, καὶ κήρωσον πολλάκις ποτίζων μετὰ ὄξους, καὶ ἕψον ἕως τοῦ σωματῶσαι καλῶς, καὶ οὕτω ποίησον ἑξάκις ἢ ἑπτάκις, καὶ τίθει αὐτὸ ἐν φούρνῳ ἄρτων εἰς

7 ειλειμένον R, εἱλειμένου N **8** ειρειθρειμένα R **10** ἐκ τοῦ τόπου RN τῆς τιτάνου] τοι τ. R, τοῦ τ. N **15** αλοὺμεν γιεμένης RN, et in marg. στυπτηρίας: lacuuam non indicant RN **16** φάνι τὸν ☽ ἐξ αὐτοῦ R, φανῇ τὸν ☽ ἐξ αὐτοῦ N; an φανῇ ὁ ☽ [ἐξ αὐτοῦ]? **19** τοσαύτης R, τῆς αὐτῆς N ὀστε͂ον R, ὀστε ὀυ N **22** ἐργι R λεπίδος RN **23** κοινοῦ N αμôνιακου Ḫ α αλόυ (και) στωκιν κιν'' R, ubi, praeter tres postremas litteras, punctum delens singulis litteris suppositum est **25** εισχυρôτατα R, ισχυρο$^{\tau\tau}$ N **27** αρ$^{\tau}$ R, ἄρτων N

explorationem. Et si rursus solveris et compegeris, duplicabitur, et magis purum solvetur.

Scias oportere medicinam, quam diximus, petalis inflammatis imponamus : quod si absque fumo processerit, bene est; sin minus, repete compactionem per solutionem.

LXXXV, 2. Et si rubrum petes negotium, ruborem misce sulphuris moliti per contritionem et per aquam quamdam acrem; et hydrargyrus et sal ammoniacum et sulphur per aquam salis atramenti seu per alios rubores rubrefiant. Atque ita solve et compinge, ut supra. Pro argenti calce pone auri calcem.

LXXXV, 3. *Elevatio hydrargyri in negotio calcinato.* Sume hydrargyri litram unam, salis communis litram unam, et coniunge et corpora per acetum fortissimum, in quo solutae sint duae salis ammoniaci unciae et quasi duae aluminis jemenis unciae; et usque tere, donec nihil iam hydrargyri conspiciatur. Postea pone in ascensorio, et totiens eleva, donec hydrargyrus iam non conspiciatur; quod eveniet in tertia vice. Postea eleva cum eadem calcis ex ossibus confectae vi, nulla addita alia re; et <hydrargyrus> erit solidus crystalli instar.

LXXXV, 4. *Elevatio arsenici in negotio, quod supra diximus, est haec.* Sume arsenici scissi unciam unam, aeris seu ferri squamarum et cerussae ana uncias quattuor, salis communis unciam unam. Haec singula tere, postea coniunge, et coque in aceto fortissimo, et cera saepe aceto imbibens, et coque, donec ipsa bene corpores; atque ita fac sexies vel septies; et pone haec omnia in furno pistorio, ut elevatio fiat,

τὸ ἀναβιβασθῆναι, τοσαυτάκις ἀναβιβάζων, ἕως οὗ γένηται λευκόν, ὃ γενήσεται ἐν πέμπτῃ φορᾷ. τελευταῖον ἀναβίβασον μετά τινων ὀστέων ζῴων.

LXXXV, 5. Ἀνάβασις δὲ τοῦ θείου ἐν αὐτῷ τῷ ἔργῳ αὕτη ἐστί. Λάβε θείου ἀπύρου λίτρας τέτταρας, καὶ λείωσον ἀκριβῶς ὅσον δύνῃ, καὶ μῖξον ἁλὸς κοινοῦ, εἰ ἔστι <εἰς> λευκόν, λίτρας πέντε, καὶ μῖξον ὁμοῦ, καὶ λείωσον, καὶ πότισον μετὰ ἰσχυροτάτου ὄξους, καὶ ἕψε ἐν φούρνῳ ἀρτοποιητικῷ μετὰ τὴν ἕψησιν. καὶ οὕτω ποίησον ποτίζων καὶ ξηραίνων ἡμέρας πέντε ἐν τῷ ἀγγείῳ τῆς ἀναβάσεως πεποιημένῳ ἐν τρόπῳ τηγάνου, ἐν ᾧ τροφαὶ ἕψονται. ποίησον | δὲ πάτον ἐξ ἁλὸς F. 74v. κοινοῦ λευκοῦ εὖ προπαρασκευασμένου εἰς πάχος ἑνὸς δακ- τύλου, μήποτε ἡ ἐντὸς τεθειμένη ἰατρεία προσκολληθῇ εἰς τὸ ἀγγεῖον ἔσωθεν. εἶτα τίθει ἐπάνω τοῦ ἅλατος τοῦ εἰρημένου θεῖον, καὶ κλεῖσον καλῶς τὸ ἀγγεῖον, ὥστε μὴ ἀναπνεῦσαι ἐκ τῆς προειρημένης ἄνω ὀπῆς ἢ διὰ τῆς ἐξόδου τῆς ὑγρότητος. καὶ θὲς τὸ ἀγγεῖον ὑπὸ φοῦρνον. ποίησον πῦρ χαῦνον ἐν διαστήματι ἡμερησίῳ. εἶτα ἔξελε, καὶ πάλιν λείωσον, καὶ πότισον μετὰ ὄξους, ὡς οἶδας ἐφ' ἅπαξ. εἶτα λείωσον καὶ ἀναβίβασον ἐν τῷ αὐτῷ ἀγγείῳ ἢ ἐν ὁποίῳ ἀγγείῳ. καὶ οὕτω σύχνασον τὴν ἀνάβασιν, ἕως οὗ γένηται λευκὸς ὡσεὶ χιών. ὃ γενήσεται τὸ πλέον ἐν πέντε φοραῖς. καὶ ἴσθι ὅτι τὸ ὄξος εἰ τεθῇ μετὰ τιτάνου ἀσβέστου, καὶ μετὰ ταῦτα σακκελισθῇ, κρειττόνως ἕξει.

LXXXV, 6. Τιτάνωσις δὲ ἀργύρου καὶ ἐν τῷ αὐτῷ ἔργῳ οὕτω γίνεται. λάβε πέταλα λεπτὰ ἀργύρου μετὰ ἁλὸς κοινοῦ προηυτρεπισμένου, καὶ βάλε ἐν ἀγγείῳ πηλίνῳ παχεῖ πεποιημένῳ ἐκ πηλοῦ σοφιστικοῦ, καὶ θὲς ἐν πλευρῷ φούρνου τιτάνου, καὶ θὲς ἐν ἄλλῳ ἀγγείῳ, μή ποτε, συντριβέντος τοῦ πρώτου ἀγγείου, ἀπολλύηται ἡ ἰατρεία. εἶτα ἔξελε, καὶ εἰ τρίβεται, καλῶς ἔχει· εἰ δὲ μή, μεταποίησον ἐκ δευτέρου μετὰ ἁλός, καὶ κρειττόνως ἕξει. καὶ μάλαξον τὴν σελήνην μετὰ τοῦ ἑρμοῦ,

3 τινου R **6** κοινὸς δι R, κοινοῦ δ N εἰς addidi **10** τοαναγγίο R, ubi το simillimum est syllabae τι; τινι ἀγγείῳ N **12** προπαρασ(και)βασμένον R, ἢ παρασκευασμένου N **13** τιθιμένι R, τεθειμένη N προσκολύσι R, προσκολλήσεις N **16** τ(ῆς) ὀπης R **25** ἀργύρου] est ☽ in RN; cf. p. 268, l. 24 **28** πεποιοιμένο ἐπι R, πεποιημένον ἐπὶ N **30** απολύτε ἡ ειατρία R, ειπολύτε εἴη ἡ ἰατρεία N

totiens elevans, donec fiat album : quod fiet in quinta vice. Postremum eleva animalium adhibens ossa.

LXXXV, 5. *Elevatio sulphuris in ipso negotio haec est.* Sume sulphuris apyri litras quattuor, et tere qua maxime poteris diligentia, et misce salis communis, si est ad album, litras quinque, et una commisce; et tere, et imbibe aceto fortissimo, et coque in furno pistorio post panum coctionem. Atque ita fac imbibens et siccans dies quinque in vase elevationis facto in modum patellae, in qua alimenta coquuntur. Et fac ordinem salis communis albi praeparati, in altitudinem unius digiti, ne medicina, quae insit, vasi intrinsecus adhaereat. Postea sali, quod diximus, impone sulphur, et vas bene claude, ne expiret per foramen, quod supra diximus, seu per humiditatis egressum. Pone vas sub furnum, et fac ignem laxum per diei spatium. Postea extrahe, et rursus tere, et imbibe aceto, ut scis, semel. Postea tere, et eleva in eodem vase seu vase simili. Atque ita repete elevationem, donec fiat album, nivis instar : quod fiet in quinque maxime vicibus. Et scias, si acetum cum calce inextincta positum et postea percolatum sit, melius futurum esse.

LXXXV, 6. *Calcinatio argenti in hoc ipso negotio ita fit.* Sume argenti petala subtilia cum sale communi praeparato, et inice vasi luteo spisso e luto sophistico confecto; et pone in calcis furni latere, et colloca in alio vase, ne, si prius vas rumpatur, pereat medicina. Postea extrahe; et, si teritur, bene est. Sin minus, iterum fac <operationem> cum sale; et melius erit. Et molli argentum per hydrargyrum,

καὶ θὲς ἐπὶ πυρὸς μετὰ κεφαλῆς μαρτελίου. ὁ γὰρ ἑρμῆς ἀναχωρήσει, καὶ μένει ἡ σελήνη τετριμμένη μετὰ τοῦ ἅλατος.

LXXXV, 7. Κάθαρσις δὲ τοῦ κούπρου ἐν τῷ προειρημένῳ ἔργῳ αὕτη ἐστί. λάβε | πέταλα κούπρου, καὶ ἄλειψον F. 75. μέλιτι. εἶτα πάσον ἐπάνω ὕελον τετριμμένον, καὶ ἀνάλυσον. αὕτη ἐστὶν ἡ ἀνάλυσις κούπρου ἡ ἐν τῷ ἐλεξὶρ γινομένη.

LXXXVI, 1. Λάβε κασσιτέρου μέρος τι, ὅσον ἕν, καὶ μάλαξον μετὰ δύο μερῶν ἑρμοῦ, καί, μαλαχθέντος, σύμμιξον μέρος ἓν θείου καὶ ἁλὸς ἀμμωνιακοῦ μέρη δύο. εἶτα θὲς εἰς τὸ ἀναβιβάσαι ἐν βικίῳ, καὶ ἀναβίβασον καλῶς τὸν ἑρμῆν εἰς λόγον χρυσοῦ, ἤγουν ἑπτάκις. εἶτα λείωσον ἰσχυρῶς ἐπὶ μαρμάρου μετὰ τοῦ ῥηθησομένου ἐρυθροῦ ὕδατος συνεχῶς γυρῶν. εἶτα θὲς εἰς ἀνάλυσιν. τούτου πεποιημένου, σύμπηξον ἐν στάκτῃ, καὶ γενήσεται λίθος ἐρυθρός. ὃν λειώσας, ἐκ τοῦ ξηρίου αὐτοῦ τοῦ λίθου ἐπίρριψον ἐπὶ πολὺν σταθμὸν μολύβδου, καὶ λείωσον, καὶ ἕνωσον, καὶ ἔσται χρυσὸς δόκιμος εἰς πᾶσαν δοκιμὴν κοκκίων τεττάρων καὶ εἴκοσιν.

LXXXVI, 2. Τὸ δὲ ῥηθὲν ἐρυθρὸν ὕδωρ γίνεται ἐκ κρόκων ὠῶν ἐζεσμένων καὶ χαλκάνθου ἠρυθρωμένου· ἃ σύμμιξον ὁμοῦ, καὶ τίθει ὑπὸ κόπρον, ἕως οὗ σαπῇ. εἶτα καταστάλαξον, καὶ ἕξεις ὕδωρ ἐρυθρὸν χρυσοῦ χρώματος, καὶ βάψει πέταλα ἀργύρου λεπτὰ εἰς χρυσόν. ὁμοίως ἐὰν χάλκανθος ἠρυθρωμένος συμμιχθῇ μετὰ τρίτου μέρους ἁλὸς ἀμμωνιακοῦ κατόχου, καὶ λειωθεὶς τεθῇ ὑπὸ κόπρον ἡμέρας ἑπτά, εἶτα κατασταλάξῃ, ἕως οὗ γένηται πηκτὸν ὡς μέλι, δύναται γενέσθαι ἐρυθρὸν καὶ βάψαι πέταλα ἀργύρου στρέφον εἰς χρυσόν.

LXXXVII, 1. Λάβε ἁλὸς ἀμμωνιακοῦ δραχμὴν μίαν, σαλνίτρου δραχμὴν μίαν, ἁλὸς κοινοῦ δραχμὴν μίαν. λῦσον εἰς ὕδωρ, καὶ διήθησον διὰ πηλοῦ. εἶτα λάβε ταρτάρου δραχμὰς ἕξ, καὶ λῦσον| F. 75v.

6 γινομένει R, γενομένη N **7** ante hanc l. vacat linea tota ad recipiendum titulum idonea **12** ῥηθησομενου cf. l. 18 sqq. κηρῶν RN **14** ϛ R = λειώσας **22** Χάλκανθος ειρειθρὸμενος R, χάλκανθος ἐρυθρωμένος N
τ
24 λειωθεὶς] ϛ R, τριβὲν N; et sequuntur neutra in RN **26** στρέφον R
27 praecedit linea vacua ad recipiendum titulum idonea

et impone igni cum martelii capite : nam hydrargyrus evanescet, et manet argentum tritum cum sale.

LXXXV, 7. *Purgatio cupri in negotio, quod diximus, haec est.* Sume petala cupri, et ungue melle. Postea cosperge vitrum tritum, et solve. Haec est solutio cupri, quae in elexir fit.

LXXXVI, 1. Sume stanni partem quamdam, unam ferme, et molli per duas hydrargyri partes; et, cum mollitum sit, misce sulphuris partem unam et salis ammoniaci partes duas. Postea, ut elevetur, pone in alambico, et bene eleva hydrargyrum ad auri rationem, scilicet septies. Postea tere valde super marmor cum aqua rubra, quam dicturi sumus, sine intermissione circummovens et turbans. Postea pone ad solutionem. Hoc facto, compinge in cinere; et fiet lapis ruber. Quem tere, et ipsius lapidis xerion magno plumbi ponderi inice; et tere, et collige; et erit aurum in omni exploratione probabile, granorum quattuor et viginti.

LXXXVI, 2. *Aqua rubra, quam supra diximus,* fit e luteis ovorum elixatorum et chalcantho rubrefacto : quae commisce una, et pone sub fimum, donec putrefiant. Postea destilla; et habebis aquam rubram auricolorem, quae argenti petala subtilia ad aurum tinguet. Itidem chalcanthus rubrefactus si commisceatur cum tertia parte salis ammoniaci detenti, et tritus ponatur sub fimum dies septem, postea stillet, donec fiet compactus mellis instar, potest ruber fieri et tinguere argenti petala, ipsaque ad aurum convertere.

LXXVII, 1. Sume salis ammoniaci drachmam, salis nitri drachmam unam, salis communis drachmam unam. Solve in aquam, et cola per lutum. Postea sume salis tartari drachmas sex, et solve

εἰς ὕδωρ, καὶ διήθησον διὰ πηλοῦ. εἶτα μῖξον ταῦτα τὰ δύο ὕδατα ὁμοῦ, καὶ σύμπηξον, καὶ ἕξεις ἅλας ἕν. εἶτα λάβε ἐκ τούτου τοῦ ἅλατος ὅσον ἐξ ἀρσενικοῦ ἀναβιβασμένου, καὶ ῥῖψον ὁμοῦ, καὶ ἐπίρριψον ἕνα σταθμὸν ἐπὶ τρεῖς κούπρου κεκαθαρμένου, καὶ ποίησον τὴν ἐπιβολήν σου ἑπτάκις, ὅτι κρειττόνως ἔρχεται. εἶτα μῖξον αὐτῷ τέταρτον μέρος ἀργύρου, καὶ ἕξεις καλὸν ἔργον.

LXXXVII, 2. Ἢ λάβε τουτίαν, καὶ σβέσον ἑπτάκις ἐν χυλῷ βλίτου καὶ ἑπτάκις ἀναλελυμένου. εἶτα λάβε ῥίζαν χελιδονίας ξηρὰν καὶ βοττίον σταφίδας, καὶ βάλε ὁμοῦ. εἶτα λάβε πέταλα κούπρου λεπτά, καὶ βάψε αὐτὰ μετὰ <γάλακτος> συκῶν, καὶ ἐπίρρανον ἐκ τοῦ ξηρίου τῆς τουτίας, καὶ συντίθει. εἶτα σβέσον ἐν χυλῷ μυρσίνης.

LXXXVII, 3. Ἄλλον. Λάβε ἁλὸς ἀμμωνιακοῦ καὶ ἁλὸς νίτρου ἀνά, καὶ λῦσον ἐν τῷ χυλῷ τῆς ῥίζης τῆς χελιδονίας, καὶ ἐν τούτῳ τῷ ὕδατι σβέσον χρυσόν, καὶ αὐξήσει τὸν ἴδιον σταθμόν.

LXXXVII, 4. [Ἄλλη] λεύκωσις σύντομος καὶ δόκιμος. λάβε ἀρσενικοῦ ἀναβιβασμένου μέρος ἕν, ἑρμοῦ ἀναβιβασμένου μέρος ἕν, κασσιτέρου πεπλυμένου <μέρη> δύο, ἑρμοῦ ζῶντος μέρη ς″ ς″ ς″ ς′, καὶ λῦσον, καὶ μάλαξον δεξιῶς τὸν κασσίτερον μετὰ τοῦ ἑρμοῦ τοῦ ζῶντος. εἶτα τρῖψον τὸ τοιοῦτον μάλαγμα ἐν φιάλῃ χαλκῇ. εἶτα μῖξον τὸ τοιοῦτον μάλαγμα ἐν θυείᾳ μετὰ τοῦ εἰρημένου ξηρίου τοῦ ἀρσενικίου καὶ τοῦ ἑρμοῦ τοῦ ἀναβιβασμένου, καὶ λείωσον πάντα ἐπὶ μαρμάρου καλῶς. εἶτα θὲς ἐν κολκίῳ μετὰ τῆς ἐπιθέσεως τοῦ ἀλεμπίκου ἐπὶ στάκτης, καὶ καταστάλαξον ὕδωρ ἐπὶ χαύνου πυρός. εἶτα πότισον τὴν ὕλην, ἤγουν τὴν τίτανον τὴν ἐναπολειφθεῖσαν ἐν τῷ πυθμένι μετὰ τοῦ ὕ|δατος τοῦ λευκοῦ τῶν ᾠῶν, ὡς οἶδας. F. 76 πλὴν τὸ προειρημένον ὕδωρ, τὸ κατασταλάξαν διὰ τοῦ ἰάμβικος, φύλαξον, ὅτι λίαν ἐστὶ χρήσιμον, καὶ τίθει ἕνα σταθμὸν τῆς εἰρημένης ὕλης ἐπὶ δέκα κούπρου καθαρμένου. καθαίρεται δὲ ὡς ἐπὶ τὸ πλεῖστον μετὰ τοῦ ἀρσενικοῦ.

4 ανασταθμ(ον) R, ἀνὰ σταθμὸν N **9** χιλιδονίας R **11** βάψε RN γάλακτος addidi **14** <Λ>αλάβε R **15** χυλυδῶνίᾶς R **17** λευκάσεις R, λεύκανσις N **19** μέρη om. R, exhibet N **22** θιάλη R, θυάλη N **28** ὅ ἴδας R του πρὸειρημένου ὕδωρ R, τοῦ προειρημένου ὕδατος N **31** καθαρμένου R

in aquam, et cola per lutum. Postea has duas aquas una commisce et compinge; et habebis sal unum. Postea huius salis eamdem vim sume atque arsenici elevati, et una pone; et ipsius unum pondus inice tribus cupri purgati ponderibus; et septies fac impositionem, quia ita melius res procedit. Postea misce cum ipso quartam partem argenti, et habebis pulcrum negotium.

LXXXVII, 2. Seu sume tutiam, et septies extingue in succo bliti septies soluti. Postea sume chelidoniae radicem siccam et uvae passae cupellam; et pone una. Postea cupri sume petala subtilia, et ficorum <succo> tingue, et tutiae xerio asperge, et compone. Postea in myrti succo extingue.

LXXXVII, 3. *Aliud*. Sume sal ammoniacum et salnitrum ana, et in radicis chelidoniae succo solve; et in hac aqua aurum extingue; et augebit ipsius pondus.

LXXXVII, 4. [*Alia*] *dealbatio cita et probabilis*. Sume arsenici elevati partem unam, hydrargyri elevati partem unam, stanni lavati partes duas, hydrargyri vivi quater dimidiam partem (?), et solve et molli apte stannum cum mercurio vivo. Postea tere huiuscemodi malagma in phiala aenea; postea huiuscemodi malagma in pila misce cum xerio, quod diximus, arsenici et hydrargyri elevati; et tere omnia bene super marmor. Postea pone in poculo, et alambicus cineri imponatur; et aquam laxo igni destilla; postea imbibe materiem, scilicet calcem, quae in fundo relicta sit, per ovorum albi aquam, ut scis. At aquam, quam diximus, quae per alambicum stillaverit, serva, quia est valde utilis; et huius materiei, quam diximus, pondus unum impone decem ponderibus cupri purgati. Arsenici ope plerumque purgatur.

LXXXVIII, 1. Λάβε ἑρμοῦ ὠμοῦ καλῶς ἀναμιχθέντος μετὰ ἅλατος καὶ ὄξους ὀγ. ἕξ, καὶ τίθει ἐν φιάλῃ ὑελίνῃ ἐσχηματισμένῃ οὕτω. εἶτα θὲς ἐν τῇ φιάλῃ τὸν ἑρμῆν καὶ ὀγ. μίαν... ἀναβιβασμένου, καλῶς τετριμμένου, καὶ στουπώσας τὴν φιάλην μετὰ ἑνὸς κομματίου ὑέλου, καὶ τίθει ἐν μιᾷ χύτρᾳ καινῇ ἐπὶ ἀνθράκων, οὕτως ὥστε εἶναι ἐν τῇ στάκτῃ τεθειμένα τὰ δύο μέρη τῆς φιάλης. εἶτα θὲς ἐν τῇ εἰρημένῃ φιάλῃ οὐρινάλιον ἕν, καὶ ποίησον ὑπὸ τὴν χύτραν πῦρ χαῦνον διὰ φλογός, οἷον μετὰ πριονίσματος ἢ μετὰ ἑνός ἄνθρακος ζῶντος, καὶ <ἔασον> ἵστασθαι ἐκεῖ ἡμέραις τριάκοντα φυσικαῖς. καὶ τότε εὑρήσεις τὸν ἑρμῆν τετιτανωμένον λευκὸν καὶ κάτοχον ὡς τίτανον ἀσβέστου λευκοῦ. χρὴ δὲ ἀποσκεπάζειν ἅπαξ τὴν ἑβδομάδαν τὴν εἰρημένην φιάλην, καὶ τὴν ὕλην, ἥτις ἔρχεται εἰς τὸν τράχηλον τῆς φιάλης, καταβιβάζειν μετὰ πτεροῦ εἰς τὸν πυθμένα τοῦ ἀγγείου. καὶ χρὴ εἰδέναι ὅτι, ἕως οὗ τὸ τοιοῦτον γίνηται, ὀφείλει ποιῆσαι ὕδωρ ἑρμοῦ κατὰ τὸν ἐνεχθησόμενον τρόπον.

LXXXVIII, 2. Ὕδωρ ἑρμοῦ. Λάβε στυπτηρίαν ῥέπι (?), ἅλας κοινόν, τάρταρον ὠμὸν ἀνὰ ὀγ. μίαν, καὶ λείωσον, καὶ λῦσον ἐν καλῇ ποσότητι ἐλαίου ἐλαιῶν ἐν ἑνὶ τηγάνῳ πηλίνῳ μικρῷ τε <καὶ> γεγανωμένῳ. | εἶτα θὲς ἐντὸς τεττάρων λιτρῶν ἑρμοῦ προηυτρεπισμένου καὶ ἐζυμωμένου μετὰ ἁλὸς καὶ ὄξους, καὶ ποίησον διαμεῖναι ὁμοῦ ἐν μιᾷ ἡμέρᾳ φυσικῇ ἐπιβαλὼν ἔλαιον, ὅτε ἐκλιμπάνει. εἶτα ἐπίρριψον τὸ εἰρημένον ἔλαιον καὶ τὰ ἅλατα εἰς ὕδωρ θερμὸν ἰσχυρῶς ἀνακινῶν μετὰ σπαθίου, καὶ τίθει εἰς μέρος τὸ ὕδωρ ἐκεῖνο, καὶ ἔασον καταστῆναι, καὶ ὅρα εἰς τὸν πυθμένα, εἰ εὑρήσεις τι ἐκ τοῦ ἑρμοῦ. καὶ ἴσθι ὅτι μόλις δυνήσῃ χωρίσαι τὸ ἔλαιον ἀπὸ τοῦ ἑρμοῦ, εἰ μὴ διὰ συνεχοῦς κινήσεως καὶ ἄκρης μετὰ τοῦ σπαθίσκου. εἶτα ποίησον βράσαι

F. 76v

1 ante hanc l. in R vacua est linea tota ad recipiendum titulum idonea ἀνὰμιθέν (τ supra) R   1-2 in marg. est *phiales* figura   2 ἐνσχυματισμένη R, ἐνσχημ. N   3 τὸν ☽ (και) ο α αναβιβασμένου R, τὸν ☽ καὶ ο μιᾶς ἀναβιβασμένου N : deest *corporis* nomen   4 τετριμένου R   5 ἐπὶ] ὑπὸ RN   9 πλειονείσματος R, πριονίσματος N   ἔασον addidi   12 τῆς ἑβδομάδος N   16 γίνετε R   18 in marg ὕδωρ ☽ N, deest in R   στ.σχιστήν (e. ✳)?   21 καὶ om. R   23 διαμεῖναι] επιθὶνε R, ἐνθεὶναι N   ὅτι RN   25 εἰσχυρῶ R, ἰσχυρῶς N

LXXXVIII, 1. Sume hydrargyrum crudum bene commixtum cum salis et aceti unciis sex, et pone in phiala vitrea in hanc formam confecta. Postea pone in phiala hydrargyrum et unciam unam... elevati et bene triti; et phialam, quam vitri frustulo obturaveris, impone in olla nova carbonibus ita, ut in cinere duae phialae partes sint. Postea phialae, quam diximus, urinale unum suppone, et sub ollam ignem laxum per flammas incende, velut scobe incensa seu uno tantum carbone incenso, et ibi stet dies triginta naturales sine. Et tunc invenies hydrargyrum calcinatum, album et detentum tamquam asbesti vivi calcem. Sed phialam semel in hebdomade detegamus oportet, et materiem, quae ad phialae collum ascendit, alae ope in vasis fundum depellamus. Et sciamus oportet, ut hoc negotium eveniat, faciendam esse hydrargyri aquam, ea ratione quam declarabimus.

LXXXVIII, 2. Sume aluminis repi (?), salis communis, tartari crudi ana unciam unam, et tere, et in opportuna olei olearum vi solve in parva patella lutea vel stanno inducta. Postea hydrargyri praeparati et subacti, cum sale et aceto, quattuor libras adde, et cura ibi sint diem unum naturalem, et oleum inice, cum desit. Postea hoc oleum et sales inice aquae calidae, valde per spathulam movens; et illam aquam sepone, et sine stet; et in fundo vide si hydrargyri quid reperias. Et scias vix oleum ab hydrargyro posse disiungi nisi continuo et acri spatulae motu. Postea eadem ratione

[fervefac

ὁμοιοτρόπως μετὰ ὄξους ἐρυθροῦ καὶ εὐλύτου ὁμοίως ἐκείνων καὶ ταρτάρου ἄλλην ἡμέραν φυσικήν, ὁμοίως, ἢ καὶ πλέον. εἶτα πλῦνον μετὰ ὕδατος θερμοῦ, ὡς ἀνωτέρω ἐποίησας. εἶτα θὲς τοῦ εἰρημένου ἑρμοῦ πεπλυμένου καὶ προητρεπισμένου, ὡς εἴρηται, ἐν μιᾷ φιάλῃ μακροτραχήλῳ, καὶ κλεῖσον αὐτὴν ἄνωθεν καὶ χρῖσον καλῶς, καὶ θὲς ἐν κόπρῳ ἱππείᾳ, καὶ στήτω ἐκεῖσε ἡμέρας δέκα καὶ δέκα. εἶτα ἔξελε, καὶ εὑρήσεις τὸν ἑρμῆν λελυμένον· ὃν θὲς ἐν οὐριναλίῳ, ἐπιτιθεμένου τοῦ ἰάμβικος, καὶ ποίησον καταστaλάξαι, καὶ λάβε τὸ ὕδωρ τὸ ἐξερχόμενον. πρῶτον ἔρχεται ὕδωρ λευκόν, εἶτα κίτρινον, εἶτα ἐρυθρόν· καὶ τίθει ἕκαστον αὐτῶν ἀνὰ μέρος. εἶτα λάβε ἐκ τῆς εἰρημένης τιτάνου τοῦ ἑρμοῦ τὸ δοκοῦν, τὸ λοιπόν, [τὸ] κομμάτιον τούτου ὀγ. μίαν, καὶ ἐκ τοῦ προειρημένου ὕδατος τοῦ λευκοῦ ὀγ. μίαν, καὶ σύμμιξον ἐπὶ στάκτην ἐν χαύνῳ πυρὶ ἐν μιᾷ φιάλῃ μικρῇ ἕως ἡμερῶν τριῶν φυσικῶν. | εἶτα σύντριψον τὴν φιάλην, καὶ λαβὼν τὸ ἐν αὐτῇ σύντριψον, καὶ τίθει ἐν ἑτέρᾳ φιάλῃ μετὰ ἴσου ὕδατος λευκοῦ ἐκ τοῦ προειρημένου ἑρμοῦ, καὶ σύμπηξον, καὶ οὕτω ποίησον τρίς. ἐκ τούτου ἕνα σταθμὸν τίθει ἐπὶ χιλίων ἑρμοῦ ὠμοῦ χαλκευθέντος, καὶ ἕξεις σελήνην καλὴν ἀνεχομένην τὴν ἅπασαν δοκιμήν. F. 77

LXXXVIII, 3. Εἰ δὲ θελήσεις ἐργάσασθαι <εἰς> ἐρυθρόν, λάβ' ὀγ. μίαν ἐκ τοῦ προειρημένου τιτάνου, καὶ ἄλλην ὀγ. μίαν ἐκ τοῦ εἰρημένου δευτέρου ὕδατος, τοῦ κιτρίνου, καὶ τοῦ τρίτου ὕδατος, τοῦ ἐρυθροῦ, καὶ ἄλλην θείου ἐλαίου, καὶ ποίησον ὡς πρότερον, καὶ ἕξεις χρυσὸν εἰς πᾶσαν κρίσιν ἀληθῆ.

LXXXVIII, 4. Πολυπλασιασμὸς δὲ αὐτοῦ ἄριστος οὕτω γίνεται. λάβε ἐκ τῆς προειρημένης ἰατρείας ὀγ. μίαν καὶ ἐκ τοῦ προειρημένου πρώτου ὕδατος τοῦ ἑρμοῦ, τοῦ πρώτου καταστaλάξαντος διὰ τοῦ ἰάμβικος, ὀγ. μίαν καὶ τοῦτο τὸ ὕδωρ μετάγει παραυτὰ τὴν εἰρημένην ἰατρείαν εἰς ὕδωρ, ὥστε

1 εὔλιτον ὅμιον ἐκήνον R, εὔλυτον ὅμοιον ἐκείνῳ N : cf. *similis illius.* Nihilne deest? **4** πεπλιρὸμένου R, πεπλυμένου N **5** θιὰλη RN **8** οὐρινάλη RN **12** του ☽ δοκ'' R, τοῦ ☽ δοκὸν N κομάτην R, κομμάτην N **14** θυάλη RN **14** μικρή RN **15** εκῶ R, ἕως N **18** ἐκ τούτου τοῦ σταθμοῦ RN, corr. Delatte **19** χαλκαθέν vel χαλκειθέν R, χαλκαθέντος N **21** in marg. manus porrecto indice in verbum εριθρ'' RN εἰς addidi **24** αιλεὸν R, ἐλαίου N **27-28** τοῦ πρώτου τοῦ RN

cum aceto rubro et similiter bene soluto et cum tartaro alium diem naturalem vel amplius. Postea, aquam calidam adhibens, lava, ut iam fecisti; postea pone nonnihil hydrargyri, quem diximus, lavati et praeparati, ut dictum est, in phiala longo collo praedita, et os ipsius claude, et ungue bene, et pone in fimo equino, et sine ibi stet dies decem et decem. Postea extrahe, et invenies hydrargyrum solutum : quem loca in lagoena, alambico imposito; et cura destillet, et aquam, quae inde stillet, sume. Primum exit aqua alba, tum citrina, tum rubra, et sepone aquam unamquamque. Postea hydrargyri calcis, quam diximus, quae relicta sit, unam unciam sume; et aquae albae, quam diximus, unciam unam; et in laxo igne super cinerem misce in phiala parva triginta usque dies naturales. Postea phialam rumpe, illud quod in ipsa insit sume, et contere, et pone in alia phiala cum eadem aquae albae, ex hydrargyro, quam diximus, stillatae vi; et compinge, atque ita fac ter. Huius <rei> impone pondus unum mille hydrargyri crudi ponderibus, et pulcrum argentum habebis, quod omnem explorationem perferre possit.

LXXXVIII, 3. Si autem voles ad aurum operari, sume calcis, quam diximus, libram unam, et aliam unciam unam secundae aquae citrinae, quam diximus, et tertiae aquae rubrae; et aliam unam olei sulphuris unciam; et fac ut prius : et habebis aurum verum in omni exploratione.

LXXXVIII, 4. *Optima eius multiplicatio fit ita.* Sume medicinae, quam diximus, unciam unam, et primae hydrargyri aquae, per alambicum stillatae, unciam unam. Haec aqua medicinam, quam diximus, statim in aquam ita convertit, ut

γενέσθαι τὸ ὕδωρ ὅλον ὁμοῦ ὀγ. δύο. καὶ ἕνωσον αὐταῖς ἄλλας δύο ὀγ. ἑρμοῦ ἀναβιβασμένου ἐν κοινῇ ἀναβάσει, καὶ συστραφήσεται τὸ ὅλον εἰς ὕδωρ, κἀντεῦθεν δυνήσῃ πολυπλασιάσαι ὑπὲρ ἀριθμὸν προστιθεὶς καθαροῦ ἑρμοῦ ἀναβιβασμένου ἐν τῷ προειρημένῳ ὕδατι. πρόσεχε δὲ ἵνα μὴ σαλεύσῃς τὸ ἀγγεῖον, ἕως οὗ πληρωθῶσιν ἡμέραι τριάκοντα, ὅτι, εἰ σαλεύσεις, ἀπολέσεις τὸ ὅλον.|

LXXXIX, 1. Λῦσον ὀγ. μίαν κρόκου σιδήρου ἠρυθρωμένου ἐν ὕδατι ἰσχυρῷ, καὶ ὀγ. δύο ἑρμοῦ ἠρυθρωμένου, καὶ ὀγ. δύο ἁλὸς ἀμμωνιακοῦ, κρινόμενον ἕκαστον καθ' ἑαυτόν. καὶ ὅταν λυθῇ ἐν ὕδατι ἰσχυρῷ, μῖξον ὅλον ὁμοῦ, καὶ τίθει ἐν οὐριναλίῳ ἰάμβικος ἐπὶ πυθμένι, καὶ ἔξελε τὰ ὕδατα ἢ τὸ ὕδωρ, καὶ ἐπίβαλε ἐπ' αὐτὸ ἀπὸ τῆς ἰλύος, <ἕως> οὗ πίῃ τὸ ἑαυτῆς ὕδωρ, καὶ γενήσεται ὡς λίθος σκληρὸς καὶ ἐρυθρότατος καὶ λύων. λάβε οὖν μολύβδου κεκαυμένου ὀγγίας ὀκτὼ ἢ χαλκοῦ λεπτοτάτου ὀγ. δύο, ἑρμοῦ ὀγ. μίαν, θείου ὀγ. τὸ ἥμισυ, βοραχίου ὀγ. δύο, καὶ ποίησον οὕτω. βάλε ἐν τῷ πυθμένι τοῦ ἀγγείου τὸν ἑρμῆν καὶ ἐπέκεινα τὸν μόλυβδον καὶ τὸν χαλκόν, καὶ ἐπάνω τοῦ χαλκοῦ μολύβδου ἀκμήν, ἕως οὗ ὅλον τὸ χωνίον γεμισθῇ. ὁ δὲ βόραξ ἔστω ἐν τῷ μέσῳ τοῦ χωνίου, καὶ τὸ θεῖον τετριμμένον ἐπάνω πάντων. καὶ σκέπασον τὸ χωνίον πετὰ ἀσφάλτου, καὶ τίθει ἐν χύτρᾳ, καὶ ἡ χύτρα τεθήτω ἐν φούρνῳ εὐκράτῳ· ἑσπέρας τεθήτω, καὶ πρωΐας ἐξελέσθω. τότε ἄνοιξον, καὶ εὑρήσεις τὰ πέταλα πεποιημένα εἰς τροπὴν τοῦ χωνίου. εἶτα τελείωσον ἐν στάκτῃ, καὶ ἕξεις ἄργυρον ἀκραιφνῆ.

F. 77v.

LXXXIX, 2. Εἰ δὲ εἰς χρυσόν, λάβε ῥινίσματα καθαροῦ χρυσοῦ, μέρος ἕν, ἀφροδίτης κεκαυμένης μέρος ἕν, κρόκου σιδήρου μέρος ἕν, καὶ λείωσον ἐπὶ μαρμάρου μετὰ ὕδατος ἀλοῦμεν γιάμενις καὶ ἴσου ὕδατος ἁλὸς ἀμμωνιακοῦ ἀναβιβασμένου καὶ κατόχου γινομένου. εἶτα ἔασον ξηρανθῆναι ἐν ἡλίῳ, εἶτα θὲς τὸ

1 αὐτοῖς RN **7** Hic in extrema pag. vacat linea tota ad longum titulum idonea **8** ειρεὶθριῶμένού R bis, ἐρυθρ. et ἠρυθρ. N **10** κριπῶμενον R, κριπόμενον N; scil. *separatum* **11** οὐρινάλη RN **13** επι της ειλέως R (igitur ἰλύς, ἰλέως ?), ἐπὶ τῆς ἰ^{o}λύως N ἕως addidi πίει R, ποιεῖ N **14** ὁ λίθοσκλιρῶς R, ὁ λίθος σκληρὸς N λύων R, λύσον N **22** ἀκράτῳ N **24** τρôπὶν R, τρ^{ον}όπιν N **25** σαλουμενιαμεν RN

aqua fiat omnis unciae duae. Et cum ipsis coniunge alias duas uncias hydrargyri elevati secundum communem elevationem ; et convertet rem omnem in aquam. Et inde poteris sine fine multiplicare, si hydrargyri puri elevati in aqua, quam diximus, non nihil addas. Cave autem ne vas moveas, donec dies triginta compleantur; quia, si moveris, rem omnem perdes.

LXXXIX, 1. Croci ferri rubrefacti unciam unam in aqua forti solve, et uncias duas hydrargyri rubrefacti et salis ammoniaci uncias duas : haec omnia separatim per se solvantur. Et cum in aqua forti soluta sint, misce rem omnem, et, in urinali, alambici fundo impone; atque extrahe aquas seu aquam, et nonnihil faecis impone, donec ipsius aquam bibat : et lapidis instar fiet duri, ruberrimi et solventis. Sume igitur plumbi usti uncias octo seu aeris minutissimi uncias duas, hydrargyri unciam unam, sulphuris semunciam, borachii uncias duas, et fac ita. Pone in vasis fundo hydrargyrum et insuper plumbum et aes; et aeri impone plumbi tantillum, donec totum fusorium impleatur. Borachium vero in medio fusorio sit; et sulphur tritum <stet> super haec omnia. Et asphalto fusorium tege, et in olla pone; et olla in furno bene temperato ponatur; ad vesperum ponatur, et mane extrahatur. Tunc aperi; et petala in fusorii orbe facta reperies. Postea perfice in cinere; et purum argentum habebis.

LXXXIX, 2. Si vero ad aurum, sume puri auri ramentorum partem unam, argenti usti partem unam, ferri croci partem unam; et tere super marmor cum aqua aluminis iamenis atque eadem vi salis ammoniaci elevati et detenti. Postea haec cura siccentur in sole; [postea illud

ξηρίον ἐκεῖνο ἐν ὄξει ἰσχυρῷ, καὶ τίθει ὑπὸ κόπρον, ἵνα λυθῇ.| F. 78 εἶτα ποίει κοκκία, καὶ τίθει μέρος ἓν ἐπὶ δέκα καλῆς σελήνης, καὶ στραφήσεται εἰς χρυσὸν καλὸν κοκκίων τεττάρων καὶ εἴκοσιν.

XC. Λάβε χρυσοῦ μέρος ἓν καλῶς τετιτανωμένου καὶ ἑρμοῦ ζῶντος μέρος ἓν καὶ μολύβδου μέρη τρία, καὶ τίθει ἐν χύτρᾳ, κεχρισμένῃ ἐν τῷ μέσῳ ἐπιτηδείως, τὸν χρυσὸν δι᾽ ὀθονίου βεβρεγμένου σὺν λιξίβῳ ἰσχυρῷ, καὶ τίθει ἐν πυρὶ ὥρας δύο. εἶτα ἔξελε, καὶ ἔσται τετιτανωμένος. τοῦτον λάβε, καὶ τίθει ἐν φιάλῃ μετὰ δύο μερῶν ὕδατος ἁλὸς ἀμμωνιακοῦ, καὶ τίθει ὑπὸ κόπρον ἱππείαν ἡμέρας πεντεκαίδεκα, καὶ λυθήσεται εἰς ὕδωρ. εἶτα λάβε μέρος χαλκοῦ ἓν καλῶς τετιτανωμένου. οὕτω λάβε χαλκόν, καὶ κόψον λεπτότατα εἰς πέταλα, καὶ τίθει πάτον ἐπὶ πάτον, ἕνα πάτον τιθῶν ἐξ ἅλατος κοινοῦ τετριμμένου καὶ ἄλλον πάτον ἐκ πετάλων. καὶ οὕτω ποίησον, ἕως οὗ τὸ ἀγγεῖον γεμισθῇ, ὡς πρὸς τὸ ποσὸν τοῦ χαλκοῦ. εἶτα θὲς ἐν ἰσχυρῷ πυρί, ὅπως δυνηθῇ τὸ πῦρ διελθεῖν κύκλῳ ἐν ὥραις δέκα, καὶ ἔσται τετιτανωμένος. τοῦτον τὸν χαλκὸν τίθει ἐν φιάλῃ μετὰ ἡμίσ. μέρους ἁλὸς ἀμμωνιακοῦ, καὶ θὲς ὑπὸ κόπρον ἡμέρας <εἴκοσι>, καὶ λυθήσεται εἰς ὕδωρ. εἶτα λάβε κρόκου σιδήρου καλῶς τετιτανωμένου μέρη δύο, καὶ τίθει ἐν φιάλῃ μετὰ μερῶν τριῶν ὕδατος ἁλὸς ἀμμωνιακοῦ, καὶ τίθει ἐν κόπρῳ, καὶ λυθήσεται εἰς ὕδωρ δι᾽ ἡμερῶν πεντεκαίδεκα. εἶτα λάβε μέρος ἓν χαλκάνθου καλλίστου λελυμένου ἐν ὄξει ἰσχυροτάτῳ καὶ καθαρῷ, καὶ διήθησον διὰ πηλοῦ, καὶ ξήρανον ἐν πυρὶ χαύνῳ. καὶ ὅταν ἴδῃς ἐξηρημένον, ποίησον πῦρ ἰσχυρότερον, ὅπως ἐρυθρωθῇ, καὶ ψυχρανθὲν λείωσον ἐπὶ μαρμάρου, καὶ ἀπόθου| F. 78 ἐν φιάλῃ μετὰ τοῦ προειρημένου ὕδατος τοῦ ἁλὸς ἀμμωνιακοῦ μέρη δύο, καὶ τίθει ὑπὸ κόπρον ἡμέρας πεντεκαίδεκα, καὶ λυθήσεται εἰς ὕδωρ. ταῦτα λελυμένα ὑπὸ κόπρον καταστάλαξον διὰ πηλοῦ τρίς. εἶτα ἐκεῖνα τὰ τρία ὕδατα τὰ ἀνωτέρω μνημο-

5 ante hanc linc. vacant in R lineae partes tres ad recipiendum titulum idoneae τετιτανὸμένον R, τετιτανωμένον N **8** βεβρἐμένου R, βεβρεγμένου N σιλυσίβω εἰσχυρώ R, μετὰ ἀλυσίας ἰσχυρᾶς N **9** τετιτανωμένον RN **14** ἕνα] ἀνὰ RN τίθόν R, τίθει N **16** τον πσ`` R τετιτανὸμένον R, τετιτανωμένον N **20** εἴκοσι addidi Erat κ′κ, unde κ, ? **21** τετιτανωμένον R, τετιτανωμένου N **24** λελυμένον RN **25** πηλοῦ σοφιστικοῦ N **26** εξειρειμένον R, ἐξηραμένον N **31** cf. p. 280, l. 10

xerion in aceto forti pone; et pone sub fimum, ut solvatur. Postea fac grana, et <huius rei> partem unam impone decem pulcri argenti partibus; et vertetur in aurum purum quattuor et viginti granorum.

XC. Sume auri bene calcinati partem unam et hydrargyri vivi partem unam et plumbi partes tres; et pone in olla, intrinsecus uncta opportune, aurum, in linteolo, forti lixivio asperso; et pone in igne horas duas. Postea extrahe, et erit calcinatum. Hoc sume, et pone in phiala cum aquae salis ammoniaci partibus duabus; et sub fimum equinum dies quindecim pone; et solvetur in aquam. Postea sume aeris bene calcinati partem unam. Atque ita sume aes, et in minutissima petala caede, et ordini ordinem impone, alterum salis communis triti ordinem, et alterum ordinem petalorum ponens. Atque ita fac, donec vas plenum sit, quae est aeris quantitas. Postea pone in igne valido, ut ignis <vas> decem horas circumdare possit; et erit calcinatum. Hoc aes pone in phiala, et salis ammoniaci dimidiam partem adde; et pone sub fimum dies <viginti?>; et solvetur in aquam. Postea sume croci ferri bene calcinati partes duas, et pone in phiala cum salis ammoniaci tribus partibus; et loca in fimo; et solvetur in aquam in dierum quindecim spatio. Postea sume chalcanthi pulcerrini in aceto fortissimo et puro soluti partem unam; et cola per lutum, et sicca in igne laxo. Et cum extractum videas, ignem fac validiorem, ut rubrefiat; et cum frigefactum sit, tere super marmor; et sepone in phiala cum salis ammoniaci aquae, quam supra diximus, partibus duabus; et pone sub fimum dies quindecim; et solvetur in aquam. Haec, postquam soluta sint sub fimum, per lotum ter destilla; postea tres illas aquas, quas supra memoravimus,

νευθέντα καταστάλαξον ἐν τῇ εἰρημένῃ φιάλῃ, ὅπου ἐστὶν τὸ ὕδωρ τοῦ χρυσοῦ τὸ πρότερον τούτου γινόμενον. ἀπόθου αὐτὸ ἐν κόπρῳ στουπωμένον καλῶς ἐπὶ ἡμέρας τετταράκοντα, καὶ κατὰ ἑκάστην ἡμέραν ἀνακαίνιζε τὴν κόπρον ἱππείαν. οὗ γενομένου, λάβε χύτραν καλῶς γεγανωμένην, μεγάλην, πλήρη στάκτης κεκοσκινισμένης, καὶ τίθει τὴν εἰρημένην φιάλην ἐν τῇ εἰρημένῃ στάκτῃ ἐπὶ χαύνου πυρός, ἕως οὗ συμπαγῇ εἰς ἐλεξίρ. εἶτα ἔξελε, καὶ λείωσον λεπτῶς· ἐξ οὗ λάβε μέρος ἕν, καὶ θὲς ἐπὶ δέκα μέρη ἀργύρου ἀκραιφνοῦς, καὶ γενήσεται χρυσὸς λαμπρότερος κοκκίων τεττάρων καὶ εἴκοσι, πάσης δοκιμῆς ἀνεχόμενον.

XCI, 1. Λάβ' ἁλὸς ἀμμωνιακοῦ ὅσον θέλεις, καὶ ἀναβίβασον αὐτὸ μετὰ σιδήρου καλῶς τετιτανωμένου τοσαυτάκις, ὥστε μετὰ μιᾶς λίτρας αὐτῆς τιτάνου ἑπτὰ λίτρας πνεύματος ἀναβιβάσαι, καὶ ὅλην τὴν πυρώδη δύναμιν καὶ κιτρινότητα τῶν ἑπτὰ λιτρῶν εἰς τὴν μίαν τῆς τιτάνου ἀπομεῖναι. εἶτα τὴν μὲν τίτανον μετὰ ἑκάστην ἀνάβασιν τιτάνωσον, ἕως οὗ ξηρὰ ἐξέλθῃ, καὶ ποθέντος τοῦ ἐλαίου τοῦ ἀμμωνιακοῦ, δεῖ ψῆσαι πάλιν καὶ εὑρεθῆναι τὴν τίτανον καλῶς κεκαυμένην;· ἣν ἐν πυρὶ ἐπὶ πολὺ ἔκζεσον, ἕως οὗ ἡ μελανὴ γλισχρότης ἐκλείψῃ. καὶ τότε μετάγαγε αὐτὴν εἰς | ζύμην σφυρήλατον μετὰ ἀμμωνιακοῦ, βοραχίου καὶ ἁλὸς νίτρου· ἔσται γὰρ τὸ σῶμα ἠρυθρωμένον καὶ γλυκὺ καὶ χαῦνον. τό<τε> σβέσον αὐτὸ ἐν ὄξει ἰσχυρωτάτῳ, καὶ γενήσεται σκληρόν. καὶ τότε ἐξέλασον αὐτὸ εἰς βέργας λεπτάς, καὶ κατάθου ἐν μιᾷ <λίτρᾳ> ἅλατος κοινοῦ, καὶ τιτάνωσον πάλιν ὡς τριφθῆναι δυνήσεται, καὶ ἐπίρριψον ἅλατι. ὡς πρότερον μεταποίησον τὰς ἀναβάσεις ἐκ τῆς αὐτῆς νέας βαφῆς, καὶ πάλιν ποίησον κατὰ πάντα ὡς τὸ πρίν. καὶ οὕτω συναχθήσεται ἡ λευκότης ὅλη εἰς ἕν. τελευταῖον τιτάνωσον, καὶ ἔκζεσον, ἕως

F. 79.

1 οὖπὸ R, ὅπου N **2** τουτούτοῦ R γινομένου RN **3** στοὖπὸμένο R, στουπωμένου N **4** ἑρματίαν ἀνὰκίνιζε R, τὴν θερμασίαν ἀνακαίνιζε N : erat fortasse ἑκάστην ὁ **5** λάβ R πλίρεις R, πλήρης N **6** φιαλὴ R **11** ἀνεχόμενον RN; ob. lat. '*aurum* **16** ἀπομίνη R, ἀπομεῖναι N τίτανον τίθει μετὰ ἑκάστης ἀναβάσεως N **19** ἐπυρὶ R **20** σγλυχρότιτα R, γλισχρότης in rasura N **21** σφοιρίλατον R, σφηρήλατον N **23** τοσβέσον R, τοῦτο σβ. N **24** εις βὲργὰς R, ubi β extrema lineae littera est; εἰς β' ἐργασίας in rat. N **25** μὶα R, α' N; deest mensurae nomen; an ђ ? πάλη R **29** τελευτέον RN

destilla in phiala, quam diximus, ubi est auri aqua iam prius facta. Sepone <vas> in fimo bene obturatum dies quadraginta, et quotidie renova fimum equinum. Quo facto, sume ollam bene stanno inductam, magnam, cineris cribrati plenam, et impone phialam, quam diximus, in cinere, quem diximus, igni laxo, donec ad elexir compingatur. Postea extrahe, et tere minutatim : et sume partem unam, et argenti puri decem partibus impone; et fiet aurum valde lucidum, granorum quattuor et viginti, quod omnem explorationem perferat.

XCI, 1. Sume salis ammoniaci quantum vis, et ipsum eleva cum ferro, bene calcinato, totiens, ut cum ipsius calcis litra una litras septem spiritus eleves, et septem librarum omnis ignea vis et citrinus color in una calcis litra maneat. Postea calcem, post elevationem unamquamque, calcina, donec sicca exeat; et cum sal ammoniacum haustum sit, rursus conteramus oportet et calcem bene ustam inveniamus :. quam calcem diu in igne excoque, donec viscositas nigra deficiat. Tum ipsam ad fermentum malleabile adduc, <sal> ammoniacum borachium et salnitrum adhibens : erit enim corpus rubrefactum et dulce et laxum. Tunc ipsum in aceto fortissimo extingue, et fiet durum. Tum ipsum in virgas subtiles educ, et in salis communis litra una depone, et rursus calcina, ut teri possit; et sali inice. Ut prius elevationes renova ex ipsa nova tinctura, atque rursus fac omnino ut prius; atque ita candor omnis in unum cogetur. Postremo calcina et fervefac, donec

οὗ καταναλωθῇ ἡ γλισχρότης, καὶ ἐναπομείνῃ ἡ τίτανος καθαρὰ καὶ ἐρυθρά. τότε λάβε τίτανον, λίτραν μίαν, καὶ λείωσον, καὶ ἐρύθρωσον ἅπαξ μετὰ ἐλαίου θείου, καί, περιαγόμενα καὶ λυόμενά καὶ συμπηγνύμενα, ἕως οὗ ζυμωθῇ ζύμη καλή, ἐκ τούτου ἐπίρριψον σταθμὸν ἕνα ἢ ὅσον θέλεις είς ὀφθαλμὸν ἐπὶ δύο..., ὡς δεῖ, ηὐτρεπισμένων, καὶ τελειωθήσεται χρυσὸς καλὸς χωρὶς ἀμφιβολίας.

XCI, 2. Τὸ ἔλαιον δὲ τοῦ θείου γίνεται οὕτω. λείωσον θεῖον λεπτοτάτως, καὶ βράσον αὐτὸ ἐν οὔρῳ καθαρῷ προβεβρασμένῳ καὶ προεξηφρισμένῳ, ἕως οὗ πᾶσαν ἐξάξῃς τὴν βαφὴν χωρὶς ἐλαίου· εἶτα καταστάλαξον μετὰ χαύνου πυρός, καὶ ὅπερ παντελῶς ἐρυθρὸν ἔλαιον φανῇ, ἔλαιον θείου ἐστί. χρῶ αὐτῷ, ὡς εἴρηται.

XCI, 3. Πληρωθείσης δὲ τῆς εἰρημένης <ἐργασίας>, λάβε καθαρὸν χρυσόν, καὶ σβέσον αὐτὸν δεκάκις ἐν χοιρείῳ στέατι. τότε λεπτῶς ἐξελαυνισθήτω. λῦσον μετὰ βοραχίου, καὶ ἔσται ὡς κηρός. εἰ δὲ μὴ ὡς μόλυβδος λύεται, μεταποίησον τὰς σβέσεις, ἕως οὗ | οὕτω προσγένηται. τότε λῦσον μετὰ ἴσου τοῦ ἁλὸς F. 79v. τοῦ προειρημένου, καὶ ἴσθι ἀναμφιβόλως ἔχειν χρυσὸν καλὸν ἐν παντὶ καὶ κατὰ πάντα. τότε διὰ τὴν διαύγειαν τοῦ τζεμέντου βοήθει αὐτῷ οὕτω. μὴ χώνευε αὐτὸν ὡς χρυσὸν καθαρόν, ἀλλ' ἔστω ὅσον δύνασθαι πυρωθῆναι ὡς ἐρυθρόν, καὶ ἔσῃ ἀσφαλὴς ἐν τῷ τζεμέντῳ.

XCII, 1. Λάβε θεῖον καθαρὸν καὶ λεπτότατον δι' ὅλου, καὶ θὲς ἐν κατεσταλαγμένῳ οὔρῳ, καὶ βράσον μετὰ χαύνου πυρός, ἕως οὗ ὅλον ἐξάξῃ τὸ κίτρινον χρῶμα δίχα τινὸς γλισχρότητος. τότε καταστάλαξον ὁμοῦ τῷ οὔρῳ ἐν ἀγγείῳ, ᾗ δύνῃ, ἕως οὗ ἐξέλθῃ

1 [γλ] σχρότης R, γλισχρότης N 3 α' μετα R, καὶ μετὰ N 4 συνπιγόμενα R, συμπηγόμενα N 5 ἐπὶ σταθμὸν RN corporis nomen deesse videtur 12 ελἐὸν θείου φανὴ R, ἔλαιον θείου φανῇ N 14 lacunam non indicant RN; οἰκονομίας? 16 ἐξέλαὒνασθίτω R, ἐξελαμισθήτω N λύσον αὐτὸ N (ἐστι) R, ἔσται N 17 τασβίσεις R 18 αλὸυ R 19 αμφιβόλος R, ἀμφιβόλως N 20 (δι) τὴν (δι)αυγίας R, δὴ τὴν διαυγίαν et in marg. δεῖ διὰ τῆς διαυγίας N 21 αυτὸν R, αὐτῷ N 22 εστôν R, ἔστω N 25 κατεσταλαγμένῳ bis scriptum R 26 ἐξὰξε R, ἐξάγῃ N (ἐξάξαι χρῶμα] χρίαν R, χρείαν N (τὴν κιτρίνην χροιάν?)

viscositas consumatur, et maneat calx pura et rubra. Tunc sume salis litram unam, et tere, et rubrefac semel, sulphuris oleum adhibens; et, postquam haec circumacta et soluta et compacta sint, donec rubrum fiant fermentum, huius <fermenti> inice unum pondus, vel quantum vis (ut oculis tuis iudicare poteris) duobus ponderibus... bene praeparati; et perficietur aurum pulcrum absque ambiguitate.

XCI, 2. *Oleum sulphuris fit ita.* Tere sulphur minutissime, et fervefac in urina pura, quae prius fervefacta et despumata sit, donec omnem tincturam, abque oleo, expellas. Postea destilla per ignem laxum; et oleum, quod rubrum omnino apparebit, sulphuris oleum est. Ipso utere, ut dictum est.

XCI, 3. Postquam vero hanc pertractationem expleveris, sume aurum purum, et decies in adipem suillum merge. Tunc educatur in subtilem laminam. Solve cum borachio; et erit cerae instar. Si vero plumbi ritu non solvatur, mersiones renova, donec ita eveniat. Tunc solve cum eadem salis, quod diximus, vi; et absque ambiguitate tibi aurum omnino pulcrum esse scias. Tunc ad cementi claritudinem ipsi fer opem ita : ipsum conflare noli ut aurum purum, sed tantum sit, ut rubrum inflammari possit; et eris securus in cemento.

XCII, 1. Sume sulphur purum et minutissimum omnino, et pone in urina cribrata, et fervefac per ignem laxum, donec omnem citrinum colorem absque viscositate expellat. Tunc destilla una cum urina in vase, qua potes ratione, donec exeat

ὕδωρ ἐρυθρόν· ὃ ἐν ἄλλῳ μέρει φύλαξον· καὶ γὰρ ἐν αὐτῷ ἐστι τὸ ἔλαιον τοῦ θείου καὶ τὸ πῦρ· τὸ δὲ ξηρανθὲν ἐν τῇ κολοκύνθῃ ἔτι ἐστὶ πῦρ. ταῦτα τὰ τρία φύλαξον ἀνὰ μέρος. εἶτα λάβ' ἀρσενικόν, καὶ ποίησον ἐν αὐτῷ κατὰ πάντα ὡς ἐν τῷ θείῳ, καὶ φύλαξον τὸ πῦρ καὶ τὸ ἔλαιον ἀνὰ μέρος. εἶτα λάβε τὸ ἀρσενικόν, ἐξ οὗ ὅλον τὸ πῦρ ἔκβαλε, καὶ ἀναβίβασον καλῶς μετὰ σκωρίας σιδήρου ἑπτάκις, ἕως οὗ καθεκτικώτατον καὶ λευκότατον καὶ διαυγέστατον γένηται. εἶτα λάβε ἀμμωνιακὸν τρὶς ἀναβάν, καὶ φύλαξον. εἶτα λάβε ἐκ τῶν τριῶν πνευμάτων κεκαθαρμένων λίτρας τρεῖς καὶ τὸ θεῖον, ἐξ οὗ τὸ πῦρ ἐξέβαλες, καὶ λείωσον πάντα ὁμοῦ καλῶς, καὶ σύμμιξον ἐπὶ μαρμάρου οὖρον μετὰ ὄξους, ἕως οὗ γένηται ἐξ αὐτῶν ζύμη καλῶς μεμιγμένη. καὶ τοῦτο ὅλον θὲς ἐν ἀγγείῳ | πηλίνῳ ἰσχυρῷ, καὶ θὲς F. 80. ἐπὶ πυρὸς ἐλαφροῦ, ἕως οὗ ὅλη ἡ ὑγρότης ἐκφύγῃ. τότεί χρσον τὸ ἀγγεῖον, καὶ δυνάμωσον τὸ πῦρ, ὥστε ἐπὶ ἀρσενικίου ἀναβαίνεσθαι, καὶ ἔασον ἐκζεσθῆναι καλῶς καὶ συμμιγῆναι ὁμοῦ ὥραις ἕξ. εἶτα, ψυχρανθέντος τοῦ ἀγγείου, ἄνοιξον, καὶ σύναξον ὅλον, καὶ συναχθὲν σύντριψον, καὶ σύμμιξον μετὰ ἄλλης στάκτης κλημάτων καλλίστως κεκοσκινισμένης, ἢ μεθ' ἑτέρας, εἴπερ ἐκείνης μὴ ἔχῃς, καὶ ἀναβίβασον τὴν ζύμην σου μετὰ ἰσοστάθμου τέφρας, ἕως οὗ εὕρῃς τὰ τέτταρά σου πνεύματα καθαρώτατα καὶ διαυγέστατα. τότε κήρωσον αὐτά, καὶ λῦσον μετὰ ἐλαίου τῶν τριχῶν ἢ ᾠῶν ᾠκονομημένων, ἕως οὗ εὕρῃς τὴν ἰατρείαν σου εὐανάλυτον ὡσεὶ κηρὸν καὶ εἰς σώματα μετάλλων εἰσερχομένην δίχα καπνοῦ. τότε γὰρ οἷον ἐκείνων θελήσεις, συστρέψεις εἰς ἄργυρον.

XCII, 2. Εἰ δὲ εἰς χρυσὸν ἐργάσασθαι θελήσεις, κήρωσον μετ' αὐτοῦ τοῦ προειρημένου... πῦρ ξηρόν, ὅσον ἐστὶν ἐξ ἐκείνου, ἤγουν τέταρτον μέρος, καὶ κήρωσον μετὰ τοῦ προειρημένου ἐρυθροῦ ἐλαίου, ἕως οὗ εὑρήσῃς τὴν ἰατρείαν σου, δίχα καπνοῦ, ὡς κηρὸν ἀναλυομένην ἐπὶ πέταλα ἀργύρου καὶ εἰς

8 ἀμμωνιακὸν — λάβε om. N **10** ἐξέβαλας, ubi tamen ας incertum, R; ἐξέβαλας N **12** ὀῦρέῶν R, οὖρον N αυτὸν R, αὐτοῦ N (ῶν supra) **17** ὥρες R, ὥρας N (αις supra) **19** υπὲρ εκὶνῆς μὶ εχ'' R, ὑπερ ἐκείνης μὴ ἔχων N **24** ευνὰλυτον R, ἀνάλυτον N **24-25** εἰσερχόμενα RN **25** ἐκὴνο R, ἐκείνων N **27** ἐργάσαι N **28** Genitiv. nomen deesse videtur; cf. l. 30 **30** ευρίσ(ης) R, εὑρήσεῖς N **31** ἀναλυόμενον RN

aqua rubra : quam alio in loco serva, quia in ipsa sulphuris oleum inest et ignis. Sed et illud quoque, quod in cucurbita siccatum sit, est ignis. Has tres res serva separatim. Postea sume arsenicum, et fac in ipso ea omnia quae in sulphure; et serva ignem et oleum separatim. Postea sume arsenicum, e quo omnem ignem expelle, et bene eleva, cum ferri scoria, septies, donec ad detinendum maxime idoneum fiat et maxime album et clarissimum. Postea sume sal ammoniacum ter elevatum, et serva. Postea sume horum trium spirituum purgatorum litras tres et sulphur, e quo ignem expulisti; et una tere omnia bene; et commisce super marmor urinam cum aceto, donec ex ipsis fermentum bene commixtum fiat. Hoc omne pone in vase luteo valido, et igni levi impone, donec omnis humiditas effugiat. Tunc ungue vas, atque ita validiorem ignem incende, ut <hoc omne> super arsenicum elevetur; et sine ebulliat bene et sex horas commisceatur. Postea, cum vas frigefactum sit, aperi, et totum collige, et quod collegeris contere, et commisce cum ramorum cinere optime cribrato, vel cum alio cinere, si ramorum cinerem non habeas; et eleva fermentum tuum cum eodem cineris pondere, donec spiritus quattuor tuos purissimos et clarissimos invenias, Tunc ipsos cera et solve, pilorum seu ovorum praeparatorum adhibens oleum, donec medicinam tuam bene solutam, cerae instar, et metallorum corpora penetrantem absque fumo invenias. Tunc enim quodvis illorum in argentum vertes.

XCII, 2. Si vero ad aurum operari voles, cera... ipsius ope, quod supra diximus, ignem siccum, quantum habeas, quartam ipsius scilicet partem, et cera per oleum rubrum, quod diximus, donec invenies medicinam tuam absque fumo super argenti petala tamquam ceram solutam

κίτρινον χρῶμα γινομένην. λῦσον αὐτό, καὶ σύμμιξον ὡς τὸ πρίν, τὸ δὲ πῦρ τὸ ξηρὸν εὐτρεπίσεις τίτανον ἐλαφφῶς μετὰ τοῦ ὕδατος τοῦ κιτρίνου ποτίζων, ἕως οὗ ἀποβάλῃ τὴν μελανίαν, καὶ ἐρυθρὸν γένηται ἢ κίτρινον. ἐκ τούτου τοῦ ἔργου γίνωσκε ἔχειν λευκοῦ καὶ ἐρυθροῦ βεβαίαν διδασκαλίαν. | F. 80v

XCIII. Φυσικὴ καὶ τελεία καὶ δόκιμος σύνθεσις ἰατρείας χρυσοῦ ἐκ τιτανώσεως σωμάτων καὶ πνευμάτων τοιαύτη ἐστί. λέπυρα ὠῶν χωρὶς τῶν ἰγμῶν πλῦνον καλῶς καὶ τιτάνωσον ἐν φούρνῳ ἡμερόνυκτον, ἕως οὗ τελειωθῇ κονία λευκοτάτη, τότε λάβε αὐτὴν καὶ μετ᾽ αὐτῆς ἀναβίβασον ἀρσενικόν, ἕως οὗ ποσότης ἐννέα λιτρῶν εἰς μίαν τούτου συντελεσθῇ. τότε τιτάνωσον καλλίστως ἀνατιτανώσας, ἕως οὗ ἡ μελανία ἐκλείψῃ, καὶ φύλαξον. εἶτα λάβε κασσίτερον, καὶ ἐξάφρισον τὰ νέφη, ἤ, <εἰ> θέλεις, τιτάνωσον ἄλλως, καὶ ἵνα κάλλιον γένηται, λάβε χαλκόν, καὶ ἀνάλυσον αὐτόν. πρόσθες καὶ κασσίτερον ἴσον αὐτοῦ, καὶ ποίησον ἐξ ἀμφοῖν ξηρίον, καὶ τὸ ξηρίον τοῦτο τιτάνωσον μετὰ ἁλὸς κοινοῦ. καὶ εἰ θελήσεις ἵνα καλλίστως γένηται, μετὰ τὴν ἑτοιμασίαν τῆς διατρίψεως καὶ ἐκζέσεως, τιτάνωσον μετὰ ἅλατος, ἕως οὗ ξηρὸν ξηρὸν γένηται, καὶ φύλαξον αὐτόν. εἶτα λάβε τὸν χαλκόν καλῶς τιτανωμένον, καὶ λείωσον αὐτόν, καὶ φύλαξον. καὶ λάβε τέτταρας <λίτρας> μολύβδου τετιτανωμένου, ἐρυθροῦ, ἤγουν σάντιγος, καὶ φύλαξον. καὶ οὕτως ἔχε <τὰς> τέτταρας τιτάνους. λοιπὸν λάβε αὐτὰς τὰς τέτταρας τιτάνους, ἐξ ἑκάστης ἀνὰ ἴσου, καὶ λείωσον καλλίστως ἐπὶ μαρμάρου, καὶ σύμμιξον, καὶ σωμάτωσον μετὰ ὄξους κατεσταλαγμένου τρίς, καὶ ποίησον ὡς ζύμην, ἣν θὲς ἐν ἀγγείῳ ὀστρακίνῳ στερεῷ εἰς τὸ τιτανωθῆναι ἐπὶ πυρὸς ἰσχυροῦ λίαν ἐν ἡμέρᾳ μιᾷ, καὶ τιτανωθεῖσαν τὴν ὕλην ἔξελε.

1 γινόμενον RN 5 λευκὸν N 8 τιαὺτη R, αὕτη et in marg. τοιαύτη N ἰγμ(ὸν) R, ὑγρῶν N πλινον τιτᾶνοσον R, πλύνας τιτάνωσον N 10 βάλε lineola deletum in textu, in marg. λάβε N 14 τὴνἔφῆ RN ἡ θέλεις R, ἢ εἰ θ. N 14 καλλίον [ων] N 15 λάβε ♀ RN αὐτὴν R 16 ἴσον αὐτῷ N 17 τοῦτο] ου RN 18 γίνετε R, γένηται N 21 λάβε δ′ RN, omisso ponderis nomine 22 τετιτανωμένον RN σανγὸς [τ] R, σάντογος N 23 τὰς addidi 24 τιτάνου RN 26 ὄξου R, ὄξους N ἠν [ἥν] R, καὶ N ἰσχυρωτάτου N, omisso igitur λίαν 28 ἰλην R, ὕλην N

et citrinum adeptam colorem. Solve hoc ipsum, et commisce ut prius; ignem vero siccum bene praeparabis calcem leniter aqua citrina imbibens, donec nigritiem amittat, et <ignis> ruber fiat aut citrinus. Ex hoc negotio scias tibi esse de albo et rubro firmam doctrinam.

XCIII. *Naturalis et perfecta et probabilis compositio medicinae auri e calcinatione corporum et spirituum talis est.* Cortices ovorum absque pelliculis lava bene et calcina in furno diei et noctis spatium, donec pulvis maxime albus perficiatur. Tunc ipsum <pulverem> sume, et cum ipso arsenicum eleva, donec ipsius novem litrae ad unam conficiantur. Tunc calcina optime calcinatione iterata, donec nigrities deficiat; et serva. Postea sume stannum, et nubes despuma; seu, si vis, aliter calcina : atque, ut melius res eveniat, sume aes et solve. Adde et stanni idem pondus, et fac ex utroque xerion, et hoc xerion cum sale communi calcina. Et si rem optime fieri voles, post attritionis et ebullitionis praeparationem, calcina cum sale, donec res valde sicca fiat; et serva. Tunc sume aes bene calcinatum, et tere et serva. Et sume quattuor <litras?> plumbi calcinati, rubri, seu santigis, et serva. Atque ita habe quattuor calces. Ceterum sume has ipsas calces ana, et tere optime super marmor, et commisce, et corpora cum aceto bene distillato, et fac quasi fermentum; quod <fermentum> colloca in vase testaceo solido, ut calcinetur, igni validissimo impositum diem unum : materiem calcinatam extrahe.

τότε λάβε ἀρσενικοῦ λευκοτάτου καὶ ἁλὸς νίτρου καὶ ἁλὸς ἀμμωνιακοῦ ἀνὰ λίτραν μίαν, καὶ ταῦτα τὰ τρία <λείωσον> ἐπὶ μαρμάρου· ἔστω δὲ πρότερον τὸ ἀμμωνιακὸν ἅλας ἀναβιβασμένον μετὰ τοῦ κοινοῦ | ἅλατος. καὶ ταῦτα τὰ τρία ζύμωσον F. 81 μετὰ τοῦ προειρημένου ἐλαίου, ἕως οὗ γένηται ζύμη κεκηρωμένη ἐρυθρά. τότε λείωσον αὐτὰ καλλίστως, καὶ λῦσον ἐν ἐλαίῳ θείου πρῶτον, καὶ κέρασον ὡς σάλσαν ὑδαράν. καὶ ταύτῃ τῇ σάλσᾳ τῇ ὑδαρᾷ πότισον τὴν τίτανον τῶν εἰρημένων σωμάτων συντρίβων καλλίστως καὶ συμμιγνύων ἐπὶ μαρμάρου, ἕως οὗ καλλίστως τριβῇ, καὶ συμμιχθεῖσα ποτισθῇ. καὶ οὕτως ποίησον τὴν ἰατρείαν ταύτην ὡς σάλσαν ὑδαράν, καὶ χῶσον ἐν κοπρίᾳ ἱππείᾳ ἡμέρας τρεῖς ἐν καύματι συνεχῶς, ἕως οὗ πεφθῇ καλῶς, καὶ λυθῇ. τότε ἔξελε, καὶ σύμπηξον ἐν στάκτῃ θερμῇ· καὶ οὕτω μὴ παύσῃ ποτίζων τὴν ἰατρείαν μετὰ τοῦ προειρημένου ἐλαίου λύων καὶ συμπηγνύων, ἕως οὗ εὑρήσεις αὐτὴν ἀναλελυμένην ὡσεὶ κηρὸν ἐπὶ πετάλων ἀργύρου χεομένην δίχα καπνοῦ. αὕτη γάρ ἐστιν ἡ ἀναμφίβολος αὐτῆς τελείωσις.

XCIV. Λάβε ἐλαίου καινοῦ καὶ τιτάνου ζώσης ὅσον σοι ἀρέσῃ, καὶ ζύμωσον εἰς τρόπον ζύμης, καὶ καταστάλαξον δὶς δι' ἄμβικος χαύνῳ πυρί, καὶ ἐξελεύσεται τὸ ἔλαιον ὅλον. εἶτα λάβε ἀρσενικοῦ λευκοῦ ἢ μετὰ οἴνου ἀναβιβασμένου, καὶ σωμάτωσον μετὰ τοῦ προειρημένου ἐλαίου εἰς τρόπον χρώματος ζωγραφικοῦ· ἥντινα ζύμην <θὲς> ἐν στάκτῃ θερμῇ <ἐπὶ> χαύνου πυρὸς, καὶ ἐκζεσθήτω ἡ ὑγρότης, καὶ καταβήσεται εἰς σταγόνας, καὶ πεσεῖται ἐπὶ τὴν ζύμην. καὶ οὕτω γενήσεται | κάτοχον, ὅταν F. 81v ξηρανθῇ. ἐξ οὗ βάλε μέρος ἓν ἐπὶ ἓξ καὶ δέκα μέρη χαλκοῦ κεκαθαρμένου, καὶ ἔσται καλὸν λευκόν, καὶ μετὰ ἴσου <ἢ> γ' ς″ <ἀργύρου> ἄργυρος ἔσται ὑπερκάλλιστον.

2 τὰ γ' ἐπὶ RN **3** ἀναβιβασμένου R, ἀναβιβασμένον N **5** γ^{τ}νη R **6** (και) λύσον R, κλεῖσον N **7** (και)ρασον R, κέρασον N **8** ταύτην τὴν σάλσαν τὴν ὑδαρᾶν R, ταύτη^{η} τὴ^{ῆ} σὰλσα^{ᾳ} τὴ^{ῆ} ὑδαρα^{ᾷ} N **9** συμιγνῶν R **10** συμιχθὲν R, συμμιχθὲν^{εῖσα} N **15** συνπίγν(ὸν) R, συμ^{μι}πηγνύων N **16** κηρῶς R, κηρὸς N **17** ἀμφίβολος RN αυ^{τ} R, αὐτῆς N **18** αρὲσοι R, ἀρέσκει^{η} N **20** τοῦ ελέοῦ R, τοῦ ἐλαίου N **21** οἴνου RN, et in marg. " *co' aqui uite* „ N **23** θὲς addidi ἐπὶ addidi **24** ἠστάγοὺυι R, σταγόνα N **26** λάβε RN **27** ἴσου γ' ς″ RN **28** ὑπερκάλλιστον ob lat. *argentum*

Tunc sume arsenici maxime albi et salis nitri et salis ammoniaci litram unam ana, et haec tria super marmor tere. Sed prius sal ammoniacum cum sale communi calcinatum sit oportet. Haec tria subige cum oleo, quod diximus, donec fermentum ceratum fiat rubrum. Tunc tere optime, et primum in sulphuris oleo solve, et cera, ut salsa humida fiat. Hac salsa humida calcem corporum, quae diximus, imbibe, terens et commiscens super marmor optime, donec optime <calx> trita sit, et, commixta, imbibatur. Atque ita fac hanc medicinam salsae humidae instar, et inhuma in fimo equino dies tres in calore sine intermissione, donec bene coquatur et solvatur. Tunc extrahe, et compinge in cinere calido; atque ita ne desinas medicinam imbibere oleo, quod diximus, solvens et compingens, donec ipsam invenias solutam tamquam ceram argenti petalis infusam absque fumo. Haec enim est haud dubie ipsius perfectio.

XCIV. *<Dealbatio aeris argentea>*. Sume olei communis et calcis vivae quantum tibi placeat, et in modum fermenti subige, et per alambicum bis destilla laxi ignis ope : et exibit oleum omne. Postea sume arsenici albi seu cum vino elevati <nonnihil>, et corpora cum oleo, quod diximas, tamquam pictorum colorem. Et hoc fermentum in cinere calido igni laxo impone, et humiditas ebulliat : et guttatim descendet; atque ita detentum fiet cum siccum sit, et incidet fermento. Cuius inice partem unam sedecim aeris purgati partibus ; et erit pulcrum et album, et cum eadem vi vel cum argenti ter dimidia parte erit argentum pulcerrimum.

XCV, 1. Λάβε τίτανον κασσιτέρου, τίτανον μολύβδου, τίτανον ἀργύρου, ἀνὰ ὀγ. δύο, καὶ ποίησον ὕδωρ ἑκάστου καθ᾽ ἑαυτὸν οὕτω. λάβε τίτανον οὗτινος ἄλλου σώματος θέλεις, ἢ πνεύματος, μέρος ἕν, καὶ δύο μέρη ἁλὸς ἀμμωνιακοῦ ηὐτρεπισμένου, καὶ τίθει τὸ ἅλας εἰς τὸν πυθμένα τοῦ ἀναβιβαστηρίου, καὶ ἐπὶ τὴν ἰλὺν αὐτοῦ τίθει τὴν εἰρημένην τίτανον, καὶ ἀναβίβασον τρὶς μετάγων τὰ ἄνω ἐπὶ τὰ κάτω. εἶτα τίθει ἀμφότερα εἰς τὸ λυθῆναι ἐν κόπρῳ, καὶ ἔασον, ἕως οὗ γένηται ὡς ὕδωρ καθαρόν. εἶτα τὸ τοιοῦτον ὕδωρ καταστάλαξον, δι᾽ ἄμβικος <ἢ> διὰ πηλοῦ. τότε λάβε ἑρμῆν καλλίστως ἀναβιβασμένον, ὀγ. μίαν, καὶ κήρωσον αὐτὸν ἐπὶ πορφυροῦν, καὶ τίθει μετὰ το ὕὕδατος F. 82. τοῦ κασσιτέρου, εἶτα μετὰ τοῦ ὕδατος τοῦ μολύβδου, καὶ λείωσον μετὰ τοῦ ὕδατος τῆς σελήνης, καὶ ἔστω ἕως οὗ πάντα τὰ ὕδατα πίῃ. τότε δοκίμασον ἐπὶ πέταλα χαλκοῦ πυρωμένου, καὶ συστραφήσεται εἰς ἄργυρον. τίθου μέρος ἓν καὶ ἥμισυ ἐπὶ τέτταρα μέρη χαλκοῦ κεκαθαρμένου.

XCV, 2. Λαβὼν χαλκὸν ἀξίωσον, ἤγουν καθάρισον αὐτὸν οὕτω. λάβε ὄξος δριμὺ καὶ στυπτηρίαν σχιστὴν καὶ σαπούνιον κασσιτέρου, εἶτα πυρώσας τρὶς τὸν χαλκὸν ἔμβαψον τῷ τοιούτῳ σκευάσματι, καὶ καθαρθήσεται, καὶ οὕτως, ἐμβαλὼν αὐτὸν χωνίῳ, χώνευσον συνεχέστερον ἐπιπάσσων αὐτῷ τῷ μῖγμα τοῦτο· | ἅλας λευκὸν μετὰ στυπτηρίας σχιστῆς ἴσης καὶ ἴσου ὄξους προαναδεδευμένου ἀναξήρανον. εἶτα λειοτριβήσας ἐπίπασσε ἐν τῇ χώνῃ ἐπάνω τοῦ χαλκοῦ· οὕτω γὰρ λευκότερος γίνεται. ὅταν δὲ χωνευθῇ καλῶς, ἐπίχεε εἰς ἀγγεῖον, ἐν ᾧ προεπίστρωται γῆ σαμία (γῆς σαμίας ἡ μέν ἐστιν ἡ τίτανος τοῦ φλοιοῦ τῶν ᾠῶν), καὶ ἔασον ψυγῆναι, καὶ εὑρήσεις αὐτὸν λίθον λευκόν. ταῦτα δὲ δεῖ ποιῆσαι τρὶς ἢ τετράκις, ἵνα καλῶς γένηται· εἰς δὲ τὴν πέμπτην φορὰν ἔμβαλε εἰς τὴν χώνην, καὶ χώνευσον προσβαλὼν τὴν ἰατρείαν τοῦ χαλκοῦ, ὀγ. μίαν ἡμίσ.

1 λάβε τιτάνου RN **2** In marg. λύσις σωμάτων εἰς ὕδωρ N; haec verba desunt in R, cf. indicem libro praepositum **3** σοματ(ὸν) R, σωμάτων N **6** ὕλην RN (ἰλύν?) **7** μεταγ(ὸν) R, μέταγε N **9** καθαρ(ὸν) γενη[τ] R, ἢ addidi **14** πεπυρωμένου N **15** ὡς ☾ RN μέρη RN **18** σαπούνιον tot. litteris R **19-20** το τιουτῶ R, τῷ τοιούτῳ N σκεπάσματι RN corr. Delatte **21** ἐν χωνίῳ N επιπασ(ὸν) αυτὸ R, ἐπιπάσων αὐτὸ N **23** πρôανδὲδεμέν(ὸν) R, προανεδευμένον N λοιοτριβίσὰς R, λυοτριβήσας N **26** προυπήστρωται N γ(ης) σάμιος R, γῆς σαμίου N **29** εἰ δὲ N **30** πρôσιβαλ(ὸν) R, προσβαλε[εις] N

XCV, 1. *<Alia dealbatio aeris>*. Sume calcis stanni, calcis plumbi, calcis argenti ana uncias duas, et uniuscuiusque fac separatim aquam hac ratione. Sume cuiuscumque corporis seu spiritus calcis partem unam et salis ammoniaci praeparati partes duas; et pone sal in ascensorii fundo, ipsiusque faeci calcem, quam diximus, impone, et ter eleva, quae superius sunt deducens illis quae sunt inferius. Postea pone utraque, ut solvantur, in fimo, et ibi linque, donec fiant aquae purae instar. Postea huiuscemodi aquam per alambicum destilla seu per lutum. Tum sume hydrargyri optime elevati unciam unam, et ipsum super porphyrum cera, et pone cum aqua stanni, postea cum aqua plumbi; et tere cum aqua argenti : ibique maneat, donec <has> aquas ebibat. Tum ipsum super aeris inflammati petala explora; et vertetur in argentum. Partem unam et dimidiam impone quattuor partibus aeris purgati.

XCV, 2. *<Alia dealbatio aeris.>* Sume aes et pertracta, id est purga, ita. Sume acetum acre et alumen scissum et saponem stanni; postea ter aes inflamma, et in hanc praeparationem merge, et purgabitur. Atque ita pone in fornace, et saepius confla ipsi hanc mixturam illinens : sal album eadem aluminis scissi eademque aceti vi aspersum exsicca; postea tere, et in fornace illine aeri. Ita enim <aes> candidius fit. Cum vero sit bene conflatum, infunde vasi, in quo iam straveris terram Samiam (terrae Samiae species una est corticum ovorum calx), et sine frigefiat, et invenies <aes> in lapidem album conversum. Hae operationes ter vel quater fiant oportet, ut res bene eveniat : in quinta vice inice fornaci, et confla addens aeris medicinam, aluminis scilicet unam unciam et semunciam

στυπτηρίας καὶ γῆς χίης, ἤγουν ἀστερίας, ὀγ. ὀκτώ. ἀνακίνει δὲ καὶ ἐκπύρου, ἵνα μηδὲ ἓν ὑποστάθμης καταλειφθῇ, ἀλλὰ πάντα ἑνωθῶσιν, καὶ ἄρας τὸ χωνίον ἐπὶ ψυκτῆρα σιδηροῦν ἔκχεε, ὡς ἔπηξας, καὶ ἄρας αὐτὸν τάχιστα, βάψον εἰς ἀγγεῖον βαθύ, ἐν ᾧ ἐστι στυπτηρία καὶ ὄξος, ὥστε, τεθέντος αὐτοῦ, ὑπερνήχειν τὸ ὑγρὸν δάκτυλα δύο, καὶ οὕτως ἔασον ἀποψυγῆναι. εἶτα ἄρας περίχρισε ἁλὶ λεπτῷ καί, εὖ μάλα πυρώσας, ἐναπόσβεσον εἰς ὕδωρ. ὅταν δὲ πήξῃ, πάλιν πύρωσον καλῶς καὶ ἄρας πεπυρωμένον, μὴ καθίσῃς ἐπὶ ὑγρότητα, ἀλλὰ σύγκυψον εἰς ἀγγεῖον, ἐν ᾧ ἐστιν ἅλας καὶ στυπτηρία σχιστή, τοῦ δὲ ἁλὸς μέρη δύο καὶ στυπτηρίας μέρος ἓν μεμιγμένον, καὶ ἔασον ψυγῆναι ἐν τούτοις. ὅταν δὲ ψυγῇ, ἆρον, καὶ ὡς, λευκότατον. λοιπὸν ἔλαυνε, ὡς θέλεις, καὶ ἐπακούσεται, ὡς θέλεις, ἐάν τε ψυχρὸν ἐάν τε θερμόν.

XCVI, 1. Λάβ' ἀρσενικοῦ ἀναβιβασμένου ὀγ. μίαν, ἑρμοῦ ἀναβιβασμένου ὀγ. τὸ τέταρτον, | ῥινισμάτων κασσιτέρου ὀγκίας τὸ τέταρτον, ἐλαίου ταρτάρου ὀγ. μίαν, καὶ μῖξον ὁμοῦ, καὶ θὲς ἐν ἀγγείῳ ἀνεψυγμένῳ. εἶτα βρασάτω, καὶ παγήσεται, καὶ γενήσεται λευκὸν ἐπὶ στάκτης θερμῆς. εἶτα βάλε ὀγ. μίαν ἐπὶ πέντε ὀγ. χαλκοῦ καὶ ἡμίσ. ὀγ. ἀργύρου, καὶ ποίει, ὡς θέλεις.

F. 82v.

XCVI, 2. Λάβε ἀρσενικοῦ ὠμοῦ ἢ ἀρσενικοῦ κεκαθαρμένου, στυπτηρίας σχιστῆς ὅσον βούλει, καὶ λείωσον, καὶ μῖξον αὐτῷ ἥμισυ αὐτοῦ ταρτάρου καλῶς κεκαθαρμένου καὶ ὀλίγον ἐξ ἑρμοῦ ἀναβιβασμένου, καὶ τίθει ἐν χωνίῳ, καὶ ἕψησον, καὶ δὸς αὐτῷ πῦρ ἀναλύσεως, καὶ λυθὲν χῦσον ἐν σωλῆνι. εἶτα μῖξον αὐτῷ ἴσον ἄργυρον, καὶ λύσας ἐπίβαλε αὐτῷ ἑρμοῦ ἀναβιβασμένου ὀλίγον, καὶ ποίησον ὡς θέλεις· ἔσται γὰρ ἄργυρος κάλλιστος. ὅταν δὲ ὁ χαλκὸς οὐ δύναται καλῶς ἀναλυθῆναι, ἄλειψον τὸ χωνίον <διὰ> σαπούνιον ἐρυθρὸν ἔνδον, καὶ ὀὸς αὐτῷ πῦρ, καὶ ἀναλυθήσεται ῥᾴδιον.

1 ἀνακαίνει RN **2** υπόστὰθμι R. ὑποστάθμη N **4** επίξες R, ἔπηξες^{ας} N **6** ὑπερέχειν RN δακτιρλα, ubi ρ lineola delevit R, δακτύλους N **7** περίχρισε R, περίχρισον N **11** τοῦ δὲ] τὸ δὲ, antecedit autem ει vel α, R; εἰς τόδε N **12** ἄρας N **19** λάβε RN **22** <Λ>άββε R ὠμὸν N **23-24** στυπτ. σχιστῆς per symbolum RN **25** εξε ☽, scil. ἐξ ἑ<ρμοῦ> ☽ R **27-28** ἀναβιβασμένον N **28** ἐστὶ RN **30** διὰ addidi

et terrae Chiae seu asteriae uncias octo. Move atque exagita, inflamma, ne sedimenti quid linquatur, sed omnia in unum colligantur. Attolle fusorium, et, cum compegeris, in vas refrigeratorium effunde; ipsumque attolle citissime, et merge in vas profundum, in quo sit alumen et acetum ita, ut, cum introductum sit, <humor> in duorum digitorum altitudinem supernatet; atque ita sine frigefiat. Postea tolle, et ungue sale minuto; inflamma bene, et extingue in aqua. Cum vero rursus compactum sit, inflamma bene; et cum inflammatum sit, ipsum noli humiditati imponere, sed infunde vasi, in quo est sal et alumen scissum — salis scilicet partes duae et aluminis pars una commixtae — et sine in his frigefiat. Cum vero frigefactum sit, tolle: et est maxime album. Ceterum <in laminas> educ, ut vis; neque tibi obsistet, sive frigidum, sive calidum est.

XCVI, 1. Sume arsenici elevati unciam unam, hydrargyri elevati unciae partem quartam, ramentorum stanni unciae partem quartam, olei tartari unciam unam; et misce una, et pone in vase aperto. Postea fervefiat; et compingetur, et fiet album super cinerem calidum. Postea unciam unam inice quinque aeris unciis et argenti semunciae; et fac ut vis.

XCVI, 2. Sume arsenici crudi seu arsenici purgati, aluminis scissi quantum vis, et tere, et misce cum ipso dimidiam vim tartari bene purgati et exiguam hydrargyri elevati vim; et pone in fusorio, et coque, et cum solutum sit, in tubum infunde. Postea cum ipso eamdem argenti vim commisce; et, postquam solveris, ipsi inice exiguam hydrargyri vim, et fac ut vis: nam est argentum pulcerrimum. Cum autem aes bene solvi non possit, fusorium intrinsecus ungue sapone rubro, et ipsi ignem incende; et facile solvetur.

XCVI, 3. Λάβε ἀρσενικόν, ὀγ. τρεῖς, σαλγέμα, ὀγ. μίαν, ἁλὸς κοινοῦ ὀγ. μίαν, ταρτάρου ὀγ. τέτταρας· πάντα σύνθες ἐν φιάλῃ ἕως ἀρυτοῦ (?) αὐτῆς· εἶτα θὲς ἐπὶ ἀνθράκων θερμῶν, ἕως οὗ ἴδῃς τὸ ἀρσενικὸν ἀναβὰν εἰς τὸν τράχηλον τῆς φιάλης, καὶ τοῦτο τρὶς ἐν ὥρᾳ μιᾷ. εἶτα ἐπίρριψον ἐκ τούτου μέρος ἓν ἐπὶ πέντε χαλκοῦ κεκαθαρμένου.

XCVI, 4. Λάβε ἀρσενικοῦ ἀναβιβασμένου, καὶ θὲς ἐν φιάλῃ ἐπὶ στάκτης λυτικῆς, καὶ λῦσον πρὸς ὀλίγον αὐτό, ὅτι λύεται εἰς ἔλαιον. εἶτα πάλιν μετάλυσον, ἕως οὗ γένηται κάτοχον. εἶτα ἔξελε, καὶ ἐπίρριψον μέρος ἓν ἐπὶ πέντε χαλκοῦ, καὶ ἔστι λευκόν.

XCVII, 1. Λάβε σελήνην, καὶ καθάρισον αὐτὴν ἑπτάκις, καὶ ἑπτάκις ἐπίρριψον αὐτὴν εἰς ὕδωρ λιθαργύρου | χρυσέου. F. 83. τούτου γενομένου, λάβε κρόκου, σιδήρου, χαλκοῦ κεκαυμένου, σάντιγος, ἑρμοῦ ἀναβιβασμένου, καδμίας Ἀλεξανδρείας ἠυτρεπισμένης, ῥινίσματος χρυσοῦ ἀληθινοῦ ἀνὰ μέρος ἕν. ταῦτα πάντα πάριδε (?) ὡς λῦσαι εἰς ὕδωρ ἰσχυρόν. εἶτα ἕνωσον τὰ ὕδατα καὶ τὴν ὅλην μῖξιν ὁμοῦ, ἕως οὗ γένηται ὅλη σῶμα καλῶς μεμιγμένον. εἶτα ἆρον τὸ ὕδωρ διὰ ἰάμβικος ἐλαφρῶς, εἶτα βάλε τὸ ἐναπομένον ἐν τῷ πυθμένι τῆς καράπας, καὶ τίθει αὐτὸ ἐν ὑγρῷ τόπῳ, ἕως οὗ λυθῇ. καὶ λυθὲν σύμπηξον χαύνῳ πυρί. εἶτα λάβε, καὶ λείωσον λεπτῶς ξηρίον. τούτου τοῦ ξηρίου θὲς μέρος ἓν ἐπὶ τετταράκοντα μέρη τῆς εἰρημένης σελήνης τῆς καθαρθείσης ἀκραιφνῶς, καὶ ἔσται χρυσὸς κοκκίων δεκαοκτώ, καὶ στήσεται εἰς τζεμέντουμ.

XCVII, 2. Ποίησις ὕδατος ἐρυθροῦ. λάβε κρόκους ὠῶν ἐκζεσμένων, καὶ ἀτραμέντου ἠρυθρωμένου, καὶ μῖξον ἄμφω καλῶς, καὶ θὲς ὑπὸ κόπρον μέχρι σήψεως. εἶτα στάλαξον

1 σάλγιμα R   ἁλὸς — μίαν om. N   **3** αρίτου RN   **7** ἀρσενικοῦ^{ον} ἀναβιβασμένου^{ον} N   **8** αυτα R, αὐτὸ N   **9** μετάλισον R, μετάλυσον N   **13** λοι ☽, scil. λιθαργύρου ☽, R, λιθαρ ☽ N   **14** γινομένου RN   κρόκ(ον) RN   **15** καῦ(δι)ηίας ιηῦτρεμεισμένης R, καυδιμίας ηύτρ. N   **17** παρ^{η}δι ὡς λῦσε εἰς R, παρίδε ὡς λύσεως N   **19** ἐλαφροῦ RN   **20** ἐναπομίν(ὸν) R   γαράπας RN   **24** ἔστι RN

XCVI, 3. Sume arsenici uncias tres, salis gemmae unciam unam, salis communis unciam unam, tartari uncias quattuor. Omnia in phiala, usque ad ipsius calycem, compone; postea calidis impone carbonibus, donec arsenicum in phialae elevatum videas : et hoc ter in una hora. Postea ipsius unam partem quinque aeris purgati partibus inice.

XCVI, 4. Sume arsenici elevati <nonnihil>, et in phiala impone cineri solutorio, et paulatim solve, quia in oleum solvitur. Postea rursus solve, donec detentum fiat. Postea extrahe; et partem unam quinque inice aeris partibus; et erit album.

XCVII, 1. Sume argentum, et septies purga, et septies aquae inice lithargyri aurei. Quo facto, sume croci ferri, aeris usti, santigis, hydrargyri elevati, cadmiae Alexandrinae praeparatae, ramenti auri veri ana partem unam. Haec omnia ita pertracta, ut in aquas fortes solvas. Postea aquas in unum collige et omnem mixturam, donec omnis <mixtura> corpus bene commixtum fiat. Postea aquam per alambicum leniter extrahe. Postea quod relictum sit pone in caraphae fundo, et in loco humido colloca, donec solvatur. Et cum solutum sit, per ignem laxum compinge. Postea sume, et minutatim tere, ut xerion efficias. Huius xerii partem unam impone quadraginta partibus argenti purgati, quod diximus; et est aurum octo et decem granorum; et explorationem in cemento perferet.

XCVII, 2. *Fabricatio aquae rubrae.* Sume ovorum coctorum lutea et atramenti rubrefacti <nonnihil>, et bene misce, et sub fimum pone usque ad putrefactionem. [Postea hinc destilla

ἐντεῦθεν ὕδωρ ἐρυθρὸν χρυσοῦ χρώματος. ἢ λάβε χαλκάνθου ἠρυθρωμένου μέρη τρία καὶ ἁλὸς ἀμμωνιακοῦ κατόχου μέρος ἕν, καὶ θὲς ὑπὸ κόπρον ἡμέρας ἑπτά. καὶ μετὰ ταῦτα καταστάλαξον αὐτά, ἕως οὗ γένηται ὡς μέλι ἢ ὕδωρ ἐρυθρόν, ἐν ᾧ ἐὰν βαφῶσιν πέταλα ἀργύρου, στρέφονται εἰς χρυσόν.

XCVII, 3. Ποίησις χρυσοῦ. λάβε ἀρσενίκιον ἐρυθρὸν καὶ ὠχρόν, χαλκάνθην, θεῖον ἄπυρον, ὀκόν, κιννάβαριν ἀνὰ ἴσου. τρίψας, σείσας ἕνωσον ἐν ἀγγείῳ καθαρῷ, χρῖσον πηλῷ σοφιστικῷ, τίθει ἐν θερμῇ στάκτῃ ὥραις ἓξ ἐν χαύνῳ πυρί, καὶ εὑρήσεις αὐτὸ ξανθὸν καὶ ξηρόν. | τοῦτο τρίψας βάλε εἰς F. 74.
ἀγγεῖον κεράμειον ἐντὸς πυρὸς ἐλαφροῦ, καὶ ἀνακαλύψας εὑρήσεις καθὰ τὸ πρῶτον. εἶτα βάλε ἐν χωνίῳ καὶ ἀργύρου μέρος τι, καὶ λῦσον ἐν πυρί, καὶ εὑρήσεις χρυσόν, θεοῦ εὐδοκοῦντος.

XCVIII, 1. Λάβε δύο λίτρας ἑρμοῦ ἀναλελυμένου μετὰ μαλάγματος κασσιτέρου, | καὶ θὲς αὐτὰ ἡμέρας τέτταρας ὑπὸ κόπρον ὑγράν. F. 83v.
εἶτα καταστάλαξον αὐτὸν δι' ἄμβικος. πάλιν θὲς αὐτὸν ἡμέρας <ι'> ὑπὸ κόπρον ὑγράν, καὶ πάλιν διστίλλα αὐτὸν δι' ἄμβικος, καὶ μεταποίησον οὕτω ὑγραίνων καὶ ξηραίνων, ἕως οὗ γένηται ἐρυθρός. τούτου γενομένου, θὲς αὐτῷ λίτραν μίαν ἐξ ὕδατος ἀναλυτικοῦ, ὅπερ γίνεται ἐξ ἁλὸς ἀμμωνιακοῦ καὶ ἐξ ἁλὸς νίτρου, καὶ καταστάλαξον δι' ἄμβικος. τούτου γενομένου, λάβε ἁλὸς νίτρου ὀγ. τρεῖς, τοῦ ἀρσενικοῦ ὀγ. μίαν, καὶ λείωσον ὁμοῦ. εἶτα θὲς ἐν ἀγγείῳ εἰς τὸ ἀναβιβασθῆναι, καὶ ἔασον τὸ στόμα τοῦ ἀγγείου ἀνεῳγμένον, ὅπως ἀναχωρήσῃ τὸ ἀρσενικόν. εἶτα ἔξελε τὸ ἐναπομένον, καὶ λείωσον αὐτὸ μετὰ ἴσου θείου ἀπύρου διαυγοῦς καθαροῦ. εἶτα θὲς αὐτὸν ἐν πίνακι σιδηρῷ, καὶ θὲς ἐπὶ πυρός, καὶ ἔασον τὴν φλόγα εἰσελθεῖν. καὶ ὅταν

1 ☉ χρώμ. RN **5** post ☉ vacant ll. 2 ½ in R, ad longiorem titulum recipiendum idoneae **6** Hoc caput est in ima p. F. 73v-74 R, in textu N **7** οἴσου R, ἴσον N **9** θε̑ρμῶ R, θερμῇ N **10** αυ R, αὐτὸν N **15** αναβιβᾶσμένοὺ αναλελυμένου, sed αναβι punctis deleum; deest ἀναβ. in N **16** καὶ θὲς] incipit F. 83v, cuius margini sup. haec adpicta sunt: δόκῳ τὸ ὕδωρ αυτ(ὸν) λέγετε μαλμαιον του ☿; haec eadem exhibet N in textu, F. 117v, sed μαλαγμαίον **18** ὑγρ(ὸν) R; cf. lat. " *fimum* "; ὑγράν N; et l. 17 αὐτὸν R, αὐτὰ N ι' addidi; deest in RN dierum numerus; an ι' ob sequ. ὑπό? δι στῖλα R, διάστειλε N **20** γινομένου RN αὐτὸ RN **21** ἀναλυτικὸν N

aquam rubram auricolorem. Seu sume chalcanthi rubrefacti partes tres et salis ammoniaci detenti partem unam, et pone sub fimum dies septem. Postea haec destilla, donec fiant quasi mel seu aqua rubra, in quam si argenti folia mergantur, in aurum vertuntur.

XCVII, 3. *Fabricatio auri.* Sume arsenicum rubrum et viride, chalcanthum, sulphur apyrum, *ocon*, cinnabarin ana. Tere, move, in unum collige in vase puro; ungue luto sophistico; pone in cinere calido horas sex seu in igne laxo; et ipsum flavum et siccum invenies. Hoc tere et impone, in vase testaceo, igni levi : cum detexeris, ipsum invenies esse ut prius. Postea pone in fusorio et partem quamdam argenti; solve in igne, et aurum invenies, Deo volente.

XCVIII, 1. Sume duas litras hydrargyri soluti cum malagmate stanni, et pone sub fimum humidum dies quattuor : postea destilla per alambicum. Rursus pone dies decem (?) sub fimum humidum, et rursus destilla per alambicum; atque ita converte aspergens et siccans, donec fiat ruber. Hoc facto, ipsi adde libram unam aquae solutioni aptae, quae fit e sale ammoniaco et sale nitro, et destilla per alambicum. Hoc facto, sume salis nitri uncias tres, arsenici unciam unam, et tere una. Postea pone in vase vitreo, ut elevetur; et cura vasis os apertum sit, ut ascendat arsenicum. Postea extrahe quod manserit, et tere cum eadem vi sulphuris apyri, clari, puri. Postea ipsum colloca in tabula ferrea, et igni impone, et flamma ingrediatur sine.

ἴδῃς ἐρυθραινόμενον ἐπιπολαίως, ἔγειρον τὸν πίνακα ἐπὶ πορφυροῦ, ὅπως μὴ ἐκδράμῃ τὸ θεῖον, καὶ σβεσθήτω ἡ φλόξ. εἶτα λείωσον τὸ θεῖον, καὶ πλῦνον αὐτὸ πολλάκις μετὰ ὕδατος ψυχροῦ, ὅπως τὸ σαλνίτρον χωρισθῇ ἐξ αὐτοῦ. εἶτα ἀναβίβασον αὐτὸν μετὰ ἴσου αὐτοῦ ἁλὸς ἀμμωνιακοῦ, ἵνα, εἴ τις καῦσίς ἐστιν ἐν αὐτῷ, ἀναχωρίσῃς. λάβε ἐκ τούτου τοῦ θείου τοῦ ἀνηυτρεπισμένου λίτραν μίαν, καὶ λείωσον αὐτὸ ποτίζων καὶ ξηραίνων μετὰ ὕδατος ἁλὸς ἀναλυτικοῦ κοινοῦ. εἶτα ἕνωσον μετ᾽ αὐτοῦ ἴσον αὐτοῦ ἐκ τοῦ ὕδατος τοῦ ἀναλυτικοῦ τοῦ προειρημένου, ὥστε λυθῆναι. τούτου γενο|<μένου>, διήθησον F. 84. διὰ πηλοῦ, καὶ <εἰ> μή ἐστι τελείως ἀναλελυμένον, μεταποίησον τὴν πότισιν καὶ τὴν στέγνωσιν μετὰ τοῦ προειρημένου ὕδατος. εἶτα μῖξον ἐξ αὐτοῦ πολύν, ἕως οὗ λυθῇ. τούτου γενομένου, φύλαξον αὐτὸ καθ᾽ ἑαυτὸν καλῶς ἐν ἀγγείῳ ἐπιτηδείῳ. εἶτα λάβε οὖρον παίδων ἢ ὄξος, καὶ θὲς ἐν αὐτῷ ῥίνισμα χαλκοῦ. εἶτα ἔασον τοῦτο ὅλον ἡμέρας ἓξ ὑπὸ γῆν, καὶ σκέπασον αὐτό. εἶτα σύναγε τὴν ὄψιν, ἣν εὕρῃς ἐπιπόλαιον. εἶτα ἀναμίγνυε μετὰ ῥάβδου τὸ οὖρον καὶ τό ῥίνισμα τὸ ἐναπομένον, εἶτα πάλιν ἔασον ἡμέρας ἓξ ὑπὸ τὴν γῆν. εἶτα σύναγε τὴν ἐπιπολάζουσαν ὄψιν, καὶ ἀπόθου μετὰ τῆς ἄλλης, ἧς ἐσύναξας. μεταποίησον τοῦτο, ἕως οὗ ἕξεις ἐκ τῆς τοιαύτης ὄψεως ὀγ. μίαν, καὶ ξηράνας φύλαξον. τούτου γενομένου, λάβε κρόκον σιδήρου, ἐκ ῥινίσματος στίμμιτος καὶ ἁλὸς ἀμμωνιακοῦ ἰσόσταθμα, καὶ λείωσον τὸ ῥίνισμα μετὰ τοῦ ἰσοστάθμου ἁλὸς ἀμμωνιακοῦ. εἶτα ἀναβίβασον, καὶ τὸ ἀναβὰν πάλιν λείωσον μετὰ τῆς τρυγός, εἶτα ἀναβίβασον αὐτὸ πάλιν. καὶ τοῦτο ποίησον τρίς, καὶ τὸ ἀναβιβασμένον λείωσον, καὶ θὲς αὐτὸ ἐν πίνακι ὑελίνῳ, καὶ ἐπίρριψον αὐτῷ ἐξ ὕδατος ψυχροῦ πολύ, καὶ μῖξον ὁμοῦ μετὰ ῥάβδου. εἶτα ἔασον συγκαθῖσαι, εἶτα ἔκβαλε τὸ

ῦο

1 επιπῶλὲῶς R, ἐπι πολέως N **4** σὰλνὶτροὺ R **5** αυτοὺ R, αὐτῶν N **6** αναχορίσεις R **7** ανειηῦτρὲπεὶσμένου R, ubi incertum ἀνει. an ανα legendum sit; ἄνω ηὐτρεπισμένου N **10** γενο R, in extrema l. et pag., omisso μένου (δι)ήθυσ(ὸν) R **11** εἰ addidi, cum in R και = και ι = καὶ εἰ μι (ἐστι) τελίος ἀναλελὺμένού R, καὶ μὴ ἔστω τ. ἀναλελυμένου et in marg. ὄντος N **14** ἑαυτοὺ R, ἑαυτὸ N **17** εύρεις επιπὄλἐὂν R, εὕρῃς ἐπιπολέως N **18** ραῦδου R, ραβδίου N; et l. 29 **20** ἧς ἐσύναξας RN **23** στόμάτος RN; fortasse est in R στύμειτος **24** τοῦ om. N **27** πίνακοι R,

λ

πύλακι N **28** ἐπ᾽ αὐτὸ ἐξ N πο R, πολὴν N

Et cum ipsius superficiem rubrefactam videas, tabulam excita super porphyrum, ne sulphur effugiat; flammam autem extingue. Postea sulphur tere, et saepe per aquam frigidam lava, ut ab ipso sal nitrum seiungatur. Postea ipsum cum eadem salis ammoniaci vi eleva, ut, si qua ipsi combustio insit, resiliat. Sume huius sulphuris praeparati litram unam, et tere imbibens et siccans, aquam solutioni aptam adhibens communem. Postea cum ipso commisce eamdem vim aquae solutioni aptae, quam supra diximus, ut solutio fiat. Hoc facto, cola per lutum, et si imperfecta solutio sit, imbibitionem et exsiccationem renova, aquam, quam diximus, adhibens. Postea huius <aquae> magnam vim misce, donec solvatur. Hoc facto, rem serva separatim in vase opportuno. Postea sume urinam puerorum seu acetum, ibique aeris pone ramentum : postea linque hoc totum dies sex sub terram; et tege. Postea collige speciem illam, quam in superficie inveneris. Postea, virgam adhibens, urinam et quod ramentum manserit misce; postea rursus sub terram dies sex linque. Postea speciem, quae in superficie sit, collige et sepone cum illa <specie>, quam collegeras. Repete hanc operationem, donec huius speciei unciam unam habeas; exsicca et serva. Hoc facto, sume croci ferri, stimmi et salis ammoniaci ramenti eadem pondera, et ramentum cum salis ammoniaci eodem pondere tere. Postea eleva; et quod ascenderit tere rursus cum faece : postea rursus eleva. Atque hoc fac ter; et quod elevatum sit tere, et pone in tabula vitrea, ipsique multam aquam frigidam inice; et virgam adhibens turba et commisce. Postea sine consedeat; postea aquam

[extrahe,

ὕδωρ ἔξω, καὶ τὸ συγκαθῖζον φύλαξον, καὶ τοσαυτάκις μεταποίησον τοῦτο, ἕως οὗ τὸ συγκαθῖσαν ἔχῃς ἐν πίνακι, ὀγ. μίαν, καὶ φύλαξον αὐτό. εἶτα ἄλειψον τὸν λίθον τὸν πορφυ|ροῦν μετὰ μέλιτος, εἶτα ἐξάπλωσον φύλλα χρυσοῦ λεπτότατα ἐπὶ τὸν λίθον, καὶ λείωσον αὐτὰ μετὰ ἄλλου λίθου, ὡς ποιοῦσιν οἱ ζῳγράφοι τὰ χρώματα. τούτου γενομένου, θὲς ἐν πίνακι γεγανωμένῳ, εἶτα ἐπίβαλε αὐτῷ πολὺ ὕδωρ ψυχρόν, καὶ μῖξον ὁμοῦ μετὰ ῥάβδου. εἶτα ἔασον συγκαθῖσαι, εἶτα στράγγισον τὸ ὕδωρ, καὶ τὸ ἐναπομένον σύναξον, καὶ ποίησον ἵνα ἔχῃς ἐξ αὐτοῦ ὀγ. ἕξ. εἶτα λῦσον αὐτὸ μετὰ ὕδατος τοῦ γινομένου ἐκ χαλκάνθου καὶ ἁλὸς νίτρου διὰ τῆς κατασταλάξεως μετὰ τοῦ ἰάμβικος. τούτου γενομένου, λῦσον αὐτὸ ἐν τῷ προειρημένῳ ὕδατι τοῦ χαλκοῦ, ὃ ἐφύλαξας, καὶ τοῦ εἰρημένου κρόκου τοῦ σιδήρου, οὗ ἐφύλαξας, μετὰ τοῦ ὕδατος τοῦ ἀναλυτικοῦ τοῦ ἁλὸς ἀμμωνιακοῦ καὶ τοῦ νίτρου, ὡς προείρηται. τούτου γενομένου, ἕνωσον πάσας τὰς προειρημένας λύσεις, εἶτα θὲς εἰς τὸ νοτισθῆναι ὑπὸ κόπρον ἡμέρας τέτταρας. εἶτα σύμπηξον ἐπὶ πέταλα σιδήρου στρογγύλου καλῶς ἐκζεσμένου καὶ καλῶς καθαροῦ, καὶ σκόρπισον ἐπ᾽ αὐτό, μεθ᾽ ὃ τριφθῇ, ἢ ἔασον εἰς τόπον ὑγρόν, ἕως οὗ λυθῇ. εἶτα πῆξον, ὡς πρότερον, καὶ τοῦτο ποίησον εἰκοσάκις. εἶτα ἐπίρριψον ὀγ. μίαν ἐπὶ χιλίας ἑρμοῦ, ὅτι παγήσεται εἰς χρυσόν. F. 84v.

Καὶ εἰ θέλεις στρέψαι ἕτερα μέταλλα εἰς χρυσόν, ἐπίρριψον πρότερον ἐκ τῆς προειρημένης ἰατρείας εἰς χρυσόν, εἶτα ἄλλα μέταλλα.

Εἰ δὲ θελήσεις τεθῆναι βαφὴν ἐν τῇ προειρημένῃ ἰατρείᾳ, ὅταν τελειωθῇ, πάλιν λῦσον αὐτὴν μετὰ τοῦ ὕδατος | τοῦ ἀναλυτικοῦ τοῦ προειρημένου ποτίζων καὶ στεγνώνων καὶ συντρίβων πλέον ἐπὶ τοῦ πορφυροῦ μετὰ τοῦ προειρημένου ὕδατος πολλάκις. καὶ μετὰ ταῦτα πρόσθες ἐκ τοῦ προειρημένου ὕδατος, ἕως οὗ λυθήσεται. καὶ εἰ οὐ λυθῇ καλῶς διόλου, μεταποίησον τοὺς ποτισμοὺς καὶ τὰς συντρίψεις καὶ τὰς στεγνώσεις, ἕως οὗ, ὡς ἔφημεν ἀνωτέρω, καὶ λυθήσεται καὶ παγήσεται τελευταῖον τὴν F. 85.

1 τοσηντάκεις R **3** πορψυρ(ὸν) R **7** ψυχρὼ R **9** ἐναπομίνον R **10** α^τ^υ R, αὐτὰ N **14** οὗ εφύλαξας RN **16** πα^τ^ν R, πάντας N (ex lat " *omnes* „ ?) **19** μεθ' ὼ R, μεθ` ὦ et in marg. μεθ' οὗ N (sed cf. ital. " *dopo che* „) **24** είτα R, ἦτα et in marg. ἴσως εἰς (scil. εἰς ἄλλα μέταλλα ?) N **27** χύσον N **28** στέγνὸνον R **31** λιθεισ^τ^ε R, λυθῇ N; et l. 33 **33** παγῆτετε, sed τετε lineola deletum N

et quod consedeat serva : et totiens hanc operationem repete, donec eius rei, quae consederit, unciam unam in tabula habeas; et serva. Postea melle lapidem porphyreum ungue; postea auri folia sublissima super lapidem explica, et, alium adhibens lapidem, tere, ut a pictoribus colores teruntur. Hoc facto, pone in tabula stanno inducta; postea ipsi multam aquam frigidam inice, et turba et misce, virgam adhibens. Postea sine consedeat, postea exprime aquam guttatim; et collige quod manserit, et cura ut huius rei uncias sex habeas. Postea solve per aquam, quae facta sit e chalcantho et sale nitro per alambici destillationem. Hoc facto, solve in aeris aqua, quam diximus et servasti, et in aqua croci ferri, quam servasti, cum salis ammoniaci et nitri aqua, solutioni apta, ut dictum est. Hoc facto, in unum omnes solutiones, quas supra diximus, collige, et pone, ut madefiant, sub fimum dies quattuor. Postea super petala ferri rotunda, bene cocti et valde puri, compinge; et super ipsum disperge, postquam tritum sit; seu in loco humido linque donec solvatur. Postea compinge, ut prius; atque hoc fac vicies. Postea unciam unam millibus hydrargyri unciis inice : et compingetur in aurum.

Si autem vis alia metalla in aurum convertere, inice prius illius medicinae, quam supra diximus, nonnihil auro et postea aliis metallis. Et si in medicina, quam supra diximus, cum perfecta sit, tincturam ponere voles, rursus ipsam solve per aquam, solutioni aptam, quam diximus, imbibens et constringens, et terens valde super porphyrum saepe cum aqua, quam diximus. Tum aquae, quam diximus, nonnihil adde, donec solvatur. Si vero non omnino bene solvatur, imbibitiones et contritiones et constrictiones renova, donec, ut supra diximus, et solvatur et compingetur demum

τελευταίαν σύμπηξιν, ἥτις τελευταῖον ἐπὶ πέταλα λυθήσεται, καὶ ὅσον μᾶλλον μεταποιη<θή> σονται αἱ ἀναλύσεις αὐτοῦ, καὶ τελευταῖον συμπήξεις, τοσοῦτον μᾶλλον αὐξήσεις τὴν καλλονὴν καὶ τὸν χρωματισμόν, ὡς ἐξ αὐτοῦ εἰς ἄπειρον τὴν αὐτοῦ βαφὴν καὶ καλλονὴν ἐκτεθῆναι.

XCVIII, 2. Λάβε πέντε λίτρας κασσιτέρου, καὶ τιτάνωσον ἐν φούρνῳ ῥεβερμπερατζιόνις εἰς ἀγγεῖα ὀστράκινα μετὰ ῥάβδου σιδηροῦ σαλεύων, καὶ ὅταν γένηται τίτανος, δὸς προσεχῶς πῦρ δύο ἡμερόνυκτα. εἶτα σωμάτωσον τέτταρας λίτρας αὐτοῦ τῆς τιτάνου ἐπὶ μαρμάρου καλῶς μετὰ ἡμισείας λίτρας ἁλὸς κοινοῦ, καὶ δὸς πῦρ ῥεβερμπερατζιόνις ἡμερόνυκτον ἕν. εἶτα πλῦνον τὴν τίτανον μετὰ ὕδατος καθαροῦ, ἕως οὗ ὅλον τὸ ἅλας ἐκβῇ. πάλιν σωμάτωσον τέτταρας λίτρας τῆς εἰρημένης τιτάνου μετὰ μιᾶς λίτρας τοῦ προειρημένου ἁλὸς κοινοῦ, καὶ δὸς πῦρ ῥεβερμπερατζιόνις ἡμερόνυκτον ἕν, καὶ ἐξάγαγε τὸ ἅλας, ὡς ἐποίησας πρῶτον. εἶτα δὸς πῦρ ῥεβερμπερατζιόνις ἡμερόνυκτον ἕν. εἶτα λάβε ταύτης τῆς τιτάνου λίτρας δύο καὶ μίαν ἑρμοῦ ἀναβιβασμένου ἑπτάκις, καὶ σωμάτωσον ἐπὶ πορφυροῦ καλῶς μετὰ | μιᾶς λίτρας ὕδατος χαλκάνθου καὶ ἁλὸς νίτρου, καὶ θὲς F. 85v. εἰς τὸ καταστολάξαι πολλὰ ἕως φοραῖς πέντε, ὅπως, καταστα-λάξαντος τοῦ ὕδατος, ἐκ τῆς αὐτοῦ ἰλύος, τοῦτο τὸ ὕδωρ ἔξελε, καὶ πάλιν πότισον αὐτὸν ὡς πρότερον, καὶ καταστάλαξον πολλάκις, ὡς πρότερον μετὰ τοῦ προειρημένου ὕδατος τοῦ νεαροῦ χαλκάνθου καὶ νίτρου, καὶ ἴσθι ὅτι οὐκ ὠφελεῖ τὸ ὕδωρ τοῦτο μετὰ τὴν πέμπτην φοράν. εἶτα λάβε τέτταρας ὀγ. ἁλὸς κοινοῦ, τοῦ λευκοῦ καὶ βρωσίμου, καὶ τέτταρας δραχμὰς στέατος τοῦ ὑέλου, καὶ ποίησον ξηρίον. καὶ μετὰ τῶν προειρη-μένων δύο λιτρῶν τῆς προειρημένης τιτάνου καὶ μιᾶς λίτρας τοῦ προειρημένου ἑρμοῦ σωμάτωσον ταῦτα μετὰ τοῦ σαπουνίου

θήσονται
1 πῆξιν N πετάλου N 2 μεταποιήσονται N 4 ἄπυρον R, ἄπειρον N 5 post hanc lineam vacat in R linea tota ad recipiendum titulum idonea
ῆς
7 ραῦδου R 9 αὐτου N : an "*ipsius* (scil. ℨ) *calcis*"? 10 μετὰ εἰμίας R, μετὰ ὁμοίας N (an μετὰ μῖας?) 20 φορὰς N. Cf. ital. "*fino a cinque volte*" 21 ἔξελε, habes *anacoluthon*, vel aliquid deesse videtur 25 τούτου RN 27 στέατος RN, sed in marg. ἴσως ἀλεύρου N ὑέλου RN ξουιριῶν, sed ου punctis deletum R τοῦ προειρημένου N 28 β' ♄ τῆς — προειρη-μένου om. N

per perfectam compactionem, quae demum super petala solvetur : et quo magis ipsius solutiones et compactiones renovareris, eo magis ipsius pulcritudinem et colorationem ita augebis, ut ad infinitum eius tinctura et pulcritudo exponatur.

XCVIII, 2. Sume quinque litras stanni, et in reverberationis furno calcina in vasibus testaceis movens et commiscens virgae ferreae ope : et cum calx facta sit, sine intermissione incende ignem duarum dierum duarumque noctium spatium. Postea ipsius stanni calcis litras quattuor corpora bene super marmor cum salis communis media litra, et reverberationis ignem incende diei et noctis spatium. Postea calcem per aquam puram lava, donec sal omne exeat. Rursus calcis, quam diximus, litras quattuor corpora, cum salis communis, quod diximus, litra una; et reverberationis ignem diei et noctis spatium incende; atque extrahe sal, ut prius fecisti. Postea reverberationis ignem diei et noctis spatium incende. Postea sume huius calcis litras duas et hydrargyri septies elevati litram unam, et super porphyrum bene corpora cum aquae chalcanthi et salis nitri litra una; et cura saepe stillet, quinquies usque, ut aqua e faece stillet. Hanc aquam tolle, et rursus imbibe ut prius; et destilla saepe, ut prius, cum aqua, quam diximus, novi chalcanthi et nitri. Et scias hanc aquam post quintam vicem utilem non esse. Postea sume salis communis, albi et edulis uncias quattuor, et adipis hyeli drachmas quattuor, et fac xerion; et cum calcis, quam diximus, duabus litris et hydrargyri, quem diximus, litra una, haec corpora saponis

τῶν φιλοσόφων, καὶ ποίησον καταβῆναι διὰ μπότου μπαρπότου. λάβε ἐκείνου τοῦ καταβάντος ὕδατος λίτραν μίαν καὶ μίαν ὀγ. σιδήρου τοῦ πρώτως καταβάντος, καὶ λῦσον ὁμοῦ. ἐκ τούτου λάβε τέτταρας ὀγ. καὶ ἐκ σελήνης ὀκτὼ καὶ μίαν ὀγ. χαλκοῦ, καὶ λῦσον ὁμοῦ. εἶτα θὲς ἐν στάκτῃ ἐκ τούτου, καὶ εὑρήσεις ὀγ. ἕνδεκα ἀργύρου καλοῦ.

XCVIII, 3. Λάβε μίαν λίτραν ἐκ ῥινίσματος ἀργύρου καὶ μίαν λίτραν ἑρμοῦ ἀναβιβασμένου ἑπτάκις, καὶ σωμάτωσον αὐτὸ ἐπὶ πορφυροῦ. εἶτα θὲς ἐπὶ τέτταρσι λίτραις σιδήρου εἰς τὸ πῦρ, καὶ ὅταν ἄρξηται καπνίσαι, ἀνακίνει, καὶ λείωσον ἐπὶ πορφυροῦ, καὶ ποίησον ὡς ἐποίησας τετράκις. εἶτα θὲς αὐτὸ τετριμμένον ἐν φιάλῃ, καὶ λυθήσεται. καὶ ὅταν λυθῇ, ἐπίβαλε κατὰ βραχὺ ἐπὶ τέτταρας λίτρας ἑρμοῦ ἀναβιβασμένου, οὕτως ὥστε ἐπάνω μιᾶς <λίτρας> ἀναλελυμένης βάλλεσθαι ἄλλην, ὅπως ὅλον λυθῇ. | εἶτα λάβε δύο λίτρας ὕδατος χαλκάνθου καὶ F. 86. νίτρου, καὶ σωμάτωσον τὰ εἰρημένα μετὰ τούτου ἐπὶ πορφυροῦ, καὶ καταστάλαξον. πάλιν τρῖψον, καὶ σωμάτωσον μετὰ τῆς ὑποστάθμης, καὶ καταστάλαξον. τοῦτο γενέσθω ἑπτάκις. τούτου γενομένου, λάβε μίαν λίτραν ὕδατος χαλκάνθου καὶ νίτρου νεαροῦ, καὶ ποίησον τετράκις ὡς ἐποίησας τὸ πρότερον. εἶτα λάβε ὀκτὼ ὀγ. ἁλὸς νίτρου καὶ ὀκτὼ ὀγ. ἁλὸς κοινοῦ λευκοῦ καὶ τέτταρας ὀγ. στέατος ὑέλου, καὶ ποίησον σωματῶσαι τὰ εἰρημένα πάντα μετὰ σαπουνίου ὡς ζύμην σκληράν, καὶ ποίησον καταβῆναι διὰ μπότου μπαρβότου, καὶ εὑρήσεις τρεῖς λίτρας σελήνης καθαρᾶς.

XCVIII, 4. Λάβε δύο μέρη τιτάνου ἀσβέστου καὶ ἓν μέρος θείου ἀπύρου καλῶς τετριμμένου, καὶ σωμάτωσον ὁμοῦ, καὶ θὲς ἐν χύτρᾳ κεκλεισμένῃ κύκλῳ μετὰ πηλοῦ, καὶ ἐπὶ τοῦ στόματος, κατὰ μέσον, γενέσθω ὀπή. καὶ δὸς πῦρ ὑποκάτω καὶ πάντοθεν ἐξ ἀνθράκων, οὕτως ὥστε τὴν χύτραν ἀπομένειν ἀσκέπαστον

1 διὰ μετώπου N **3** λύσι R cf. p. 318, l. 4 **5** σταχ$^{\tau}$α$^{\tau}$υ, sed αυ$^{\tau}$ punctis deletum, R, σταχ$^{\tau}$ N **8** αυτω R **9** ἐπίθες N δ′σοιη σι (δι)ροῦ R, δ′σοιη σιδήρου N **14** λίτρας addidi αλ'' R, ἄλλην N **15** ολ' R, om. N **17** κατασταλάξας N **19** γινομένου RN ὑέλου RN **24** μπαρπότουμ N **27** ἀπ^{υ}είρου N τετριμέν(ὸν) R, τετριμμένου N

philosophici ope, et cura per potum barbotum descendant. Aquae, quae descenderit, litram unam sume et ferri, quod primum descenderit, unciam unam; et solve una. Huius rei sume uncias quattuor et argenti octo et aeris unciam unam : et solve una. Postea in cinere pone, et argenti pulcri uncias undecim invenies.

XCVIII, 3. Sume ramenti argenti litram unam et hydrargyri septies elevati litram unam, et super porphyrum corpora. Postea quattuor ferri litris impone, super ignem; et cum fumum emittere coeperit, remove, et super porphyrum tere; et quater fac, ut fecisti. Postea hoc ipsum tritum in phiala pone; et solvetur. Et cum solutum sit, inice paulatim tribus hydrargyri elevati litris ita, ut litrae unicuique solutae aliam litram infundas, ut omne solvatur. Postea sume duas aquae chalcanthi et nitri litras, et corpora ea quae diximus cum hac <aqua> super porphyrum, et destilla. Rursus tere et corpora cum materie residua, et destilla : hoc fiat septies. Hoc facto, sume aquae chalcanthi et novi nitri litram unam, et fac quater ut prius fecisti. Postea sume salis nitri uncias octo et salis communis albi octo et adipis hyeli uncias quattuor, et cura haec omnia, quae diximus, corporentur cum sapone in fermenti duri modum, et per potum barbotum descendant; et tres argenti puri litras invenies.

XCVIII, 4. Sume calcis inextinctae partes duas et sulphuris apyri bene triti partem unam, et una corpora, et pone in olla luto circumclausa; et super ollae os in medio tegumento fiat foramen. Carbonum ignem incende, subter et undique ita, ut ollae pars

ἄνωθεν ὡς τρεῖς δακτύλους ἢ τέτταρας. καὶ ὅταν ἴδῃς τὴν φλόγαν ἀναβαίνουσαν διὰ τῆς ὀπῆς, ἔασον ἵστασθαι. καὶ ὅταν ἴδῃς ἐλαττόνουσαν, μετακίνησον τὴν φλόγαν ἐκ τοῦ πυρὸς εἰς τὴν χύτραν, καὶ ψυχρανθήτω. εἶτα θὲς ὕδωρ διαυγὲς ἐπάνω, καὶ βρασάτω. καὶ λάβε τὸ ἔλαιον τὸ ἐκεῖθεν ἐξερχόμενον παρεκκλίνων τὴν χύτραν. εἶτα ἐπίβαλε ὕδωρ διαυγές, καὶ οὕτω ποίησον, ἕως οὗ | ὅλον τὸ ἔλαιον συνάξῃς. εἶτα τοῦτο τὸ F. 86v.
ἔλαιον καταστάλαξον δι᾿ ἄμβικος, καὶ καταςταλαχθήσεται ὕδωρ, καὶ ἐναπομένει τὸ ἔλαιον ἐν τῷ πυθμένι πεπηγός. τοῦτο θὲς εἰς λίθον μαρμάρινον ἐν τόπῳ νοτερῷ, καὶ λυθήσεται εἰς ὕδωρ. τοῦτο θὲς ἐν ἀγγείοις πηλίνοις εἰς φοῦρνον ῥεβερμπερατζίονις ἡμερόνυκτον ἕν, καὶ ἔσται λευκὸν δίχα δυσωδίας καὶ κάτοχον ἄκαυστον.

XCVIII, 5. Λάβε <πέντε> λίτρας ἁλὸς κοινοῦ καὶ δύο λίτρας σαλγέμα καὶ δύο λίτρας στυπτηρίας ὀρεινῆς καὶ δώδεκα λίτρας ὄξους λευκοῦ, καὶ λῦσον ἐν πυρί, καὶ καταστάλαξον διὰ πηλοῦ, καὶ τοιούτῳ τρόπῳ ποίησον, ὅπως ἔχῃς ἐκ τούτου ἀρκούντως σοι. εἶτα λῦσον ψιμύθιον, καὶ ἐπίβαλε τούτῳ ὄξους δώδεκα <λίτρας>, καὶ ὅταν ἐπιβάλῃς, ἔστω τὸ ὕδωρ ἐν μακρῷ ἀγγείῳ κεκλεισμένῳ μετά τινος πίνακος τετρυπημένου ἐν τῷ ἄκρῳ. ἐκ τούτου ποίησον εἰς τύπον τοῦ ἄλλου μολύβδου, ὡς ἐποίησας τὸ σὸν ἰγδίον, καὶ ποίησον ἰγδίον κατὰ τὸ προειρημένον σχῆμα τοῦ ἰγδίου, ἐν ᾧ ἔθηκας τὴν ζύμην τῆς σελήνης. ἐν ἑπτὰ ἡμέραις γίνεται.

XCVIII, 6. Λάβε όγ. ἕξ τοῦ ἐλαίου τοῦ θείου καὶ όγ. ἕξ κρόκου σιδήρου καλλίστου, καὶ λείωσον ἐπὶ πορφυροῦ, ἕως οὗ γένηται πηκτόν, καὶ βάλε ἐν ἀμίδι, καὶ θὲς ἐπὶ χαύνου πυρός, καὶ σύμπηξον ὡς μέλι. εἶτα θὲς ἐπὶ πορφυροῦ, καὶ λῦσον, καὶ

1 γ′ δακτίλον ἢ δ′ R, τρεῖς δακτυ^{λ} ἢ δ′ N **2** φλόγα N **3** ελατονούσαν R, ἐλάττων οὖσαν N (ἐλαττοῦσαν intransitive?) **5** βασάτω R, βρασάτω N **6** παρεκλίνειν^{ων} N **9** τὸ ὕδωρ N ἐναπôμἰνη R, ἐναπομείνει N **13** vacant lineae quattuor partes ad recipiendum titulum idoneae **14** πέντε] scil. ϵ′, om. RN, ob praeced. ϵ in λάβε? vel ♄ <α′> ob. seq. ἁλὸς? **17** αρκούντος R, ἀρκοῦν N **18** ἐν τούτο ὄξει R, ἐν τούτῳ ὄξει N: addidi mensurae nomen **20** τυτρυπιμένόν R **21** τόπον RN ἀλòυ R **22** ἰγδίον RN, et in marg. "*murtaro*" N σχί^{τ}μα **27** καὶ θὲς bis scriptum R

superior in trium tantum digitorum altitudinem tecta non sit. Et cum flammam per foramen ascendentem videas, sine stet. Et cum videas flammam minorem fieri, flammam ex igne ad ollam amove, et frigefiat. Postea aquam claram impone; et fervescat. Et sume oleum, quod inde exeat, ollam declinans. Postea aquam claram inice; atque ita fac, donec oleum omne colligas. Postea hoc oleum per alambicum destilla, et stillabit aqua; et oleum in fundo manet, compactum. Hoc oleum super marmor in loco humido pone, et solvetur in aquam. Hanc aquam in vasibus luteis diei noctisque spatium in reverberationis furno pone; et erit res alba absque foetore, detenta et incombusta.

XCVIII, 5. Sume quinque litras salis communis et duas litras salis gemmae et duas litras aluminis montani et duodecim litras aceti albi; et solve in igne, et per lutum destilla; atque ita fac, ut quod tibi sufficiat habeas. Postea cerussam solve, ipsique aceti litras duodecim impone. Cum uero <acetum> inicias, sit aqua in magno vase, tabula quadam, foramine in summitate praedita, clauso. Hoc tamquam in plumbo utere qua ratione pilum tuum fecisti; et pilum fac ad formam, quam diximus, illius pili, in quo argenti fermentum posuisti: in septem dierum spatio res evenit.

XCVIII, 6. Sume olei sulphuris uncias sex et croci ferri pulcerrimi uncias sex, et super marmor tere, donec compages fiat, et pone in lagoena, et igni laxo impone, et mellis instar compinge. Postea porphyro [impone, solve et tere.

λείωσον. καί, <εἰ> λύεται, θὲς μετὰ τοῦ λελυμένου ἐν τῇ ἀμίδι, καὶ αὐτὸ μῖξον, καὶ τοσαυτάκις πῆξον τοῦτο, ἕως οὗ ὅλος ὁ κρόκος λυθῇ· καὶ τότε ἐστὶ τὸ ἔλαιον τετελειωμένον. εἶτα βάλε ἐπὶ τὰς τέσσαρας λίτρας | τῆς λελυμένης ὕλης ὀγ. μίαν τοῦ F. 87 προειρημένου ἐλαίου, ἀφ᾽ οὗ ἐναποτεθῇ. καὶ ὅταν θήσεις τὴν ζύμην ἐν θυείᾳ, χρυσὸν καὶ μόλυβδον, ἄλειφε μετὰ τοῦ προειρημένου τοῦ κοινοῦ <ἐλαίου> τὸν πυθμένα ὅλον τῆς θυείας. καὶ γενέσθω ἡμερόνυκτον ἓν ὑπὲρ τῶν ἄλλων.

XCVIII, 7. Λῦσον ἐν σφέκλῃ οἴνου ἐρυθροῦ χαλκοῦ δώδεκα <λίτρας>. ἐκ τούτου λάβε ὀγ. ἐννέα καὶ εἴκοσι καὶ μίαν ὀγ. χρυσοῦ καὶ τριάκοντα θείου, καὶ ποίησον οὕτω· χύσον ἐν στάκτῃ πρῶτον τὰς τρεῖς ὀγ. τοῦ προειρημένου χαλκοῦ, καὶ εὐθέως μῖξον αὐτῷ τὴν μίαν ὀγ. τοῦ χρυσοῦ, καὶ ἐπίρριψον ἐπάνω αὐτῶν τῶν τεττάρων ὀγκιῶν ὀγ. μίαν θείου. ἧς καυθείσης, θὲς ὀγ. ἄλλην θείου, ἕως οὗ ἐκδαπανηθῇ, καὶ μετὰ ταῦτα ἄλλην ὀγκίαν. τοιούτῳ τρόπῳ ποίησον ἕως τεττάρων ὀγ. θείου. εἶτα μῖξον μίαν δραχμὴν χαλκοῦ. ἐπάνω αὐτῆς ἀναλελυμένης θὲς ὀγ. μίαν θείου· ἧς ἐκδαπανηθείσης, θὲς ἄλλην ὀγ. χαλκοῦ, καὶ ἐπάνω τῆς ἀναλελυμένης θὲς ὀγ. μίαν θείου ἐπάνω τοῦ ἀναλελυμένου σώματος, ὄντος αὐτοῦ ἐν τῇ στάκτῃ. οὕτω ποίησον, ἕως οὗ ὅλον τὸ προειρημένον κατασταθῇ τέτταρας ὀγ., ἐξ οὗ ἐπίρριψον μέρος ἓν ἐπὶ δέκα μέρη ἀργύρου, καὶ ἔσται ὡς τίτανος.

XCVIII, 8. Λάβε ἑρμοῦ ἀναβιβασμένου ἑπτάκις, καὶ σωμάτωσον μετὰ στυπτηρίας σχιστῆς ἴσου, καὶ ἀναβίβασον. δευτέρωσον τοῦτο καὶ τρίτωσον μετὰ στυπτηρίας σχιστῆς νεαρᾶς ἑκάστην φοράν. τρὶς γενέσθω. λάβε ἐκ τούτου τοῦ ἑρμοῦ μέρη δύο καὶ ἄλλον ἁλὸς ἀμμωνιακοῦ, καὶ ἀναβίβασον, καὶ λῦσον ἐν ὄξει, καὶ καταστάλαξον αὐτὰ δι᾽ ἄμβικος ἐν φιάλῃ ὑέλου ἐν στάκτῃ ὄντος, καὶ διήθησον διὰ πηλοῦ. | καὶ εἰ μὴ λυθῇ, θὲς πάλιν ἐν ὄξει F. 87ᵛ.

3 λάβε RN, sed in marg. βάλε N **4** ♄ τὴν R in extrema pag.; τῆς in f. 87 ineunt. $\overset{τ}{του}$ του R **7** ἐλαίου addidi **8** ὑπερως $\overset{τ}{αλ}$`` R, ὑπέρτερος ἄλλων N : post haec verba vacant lineae quattuor partes ad recipiendum titulum idoneae **10** λίτρας addidi **12** τοῦ γ′ RN **14** αυτοὺ τὸν δ′ ογγίον R, αὐτοῦ τῶν δ′ ὀγγίων N **17** ἀναλελυμένην RN **18** dittographiam suspicor **23** τίτανον R; post hoc verbum vacat in R linea tota ad recipiendum titulum idonea **25** ἴσον RN δευτέρως RN **26** νεαρὰν R **28** ἁλ(ὸν) R, om. N **29** ὄντος RN; ad ὑέλου refertur **30** (δι)ήνθισ(ὸν) R, διήνθησον N

Si solvitur, pone cum <croco> soluto in lagoena, et misce; et totiens compinge, donec crocus omnis solutus sit : tunc oleum perfectum est. Postea solutae materiae litris quattuor olei, quod diximus, unciam unam impone, si depositionem fecerit. Et cum fermentum in pila pones, et aurum et plumbum, oleo communi, quod diximus, omnem ollae fundum ungue : et diei noctisque spatium aliis rebus impositum maneat.

XCVIII, 7. Solve in vini rubri faece duodecim aeris litras. Huius mixturae sume uncias novem et auri unciam unam et sulphuris triginta; atque fac ita. Infunde cineri primum tres illas uncias aeris, quod diximus; et statim cum ipso illam auri unam unciam misce, et istis quattuor unciis impone sulphuris unciam unam. Qua usta, pone sulphuris unciam aliam, donec dissipetur, et postea aliam unciam. Tali ratione quattuor usque sulphuris uncias pertracta. Postea aeris unam drachmam misce. Huic ipsi, post solutionem, sulphuris unciam unam impone; et cum haec dilapsa sit, pone aliam aeris unciam; et cum haec soluta sit, sulphuris unciam unam corpori soluto, quod in cinere sit, impone. Ita fac, donec, huic, quod diximus, quattuor unciarum sit pondus : huius autem <rei> partem unam decem argenti partibus inice, et erit calcis instar.

XCVIII, 8. Sume hydrargyri septies elevati <nonnihil>, et cum aluminis scissi eadem vi corpora, et eleva. Hanc operationem renova et triplica, novum quotiescumque alumen adhibens : haec ter fiant. Sume huius hydrargyri partes duas et salis ammoniaci aliam partem, et eleva, et solve in aceto, et per alambicum destilla in phialam vitream in cinere positam; et per lutum cola. Si vero non solvantur, pone rursus

νεαρῷ, καὶ λυθήσεται, καὶ διήθησον διὰ πηλοῦ. εἶτα καταστάλαξον δι' ἄμβικος, καὶ σύμμιξον τὸ ἐναπομένον εἰς σύστασιν μελιτώδη, καὶ τίθει ἐπὶ φούρνου καινοῦ. ἔασον ἵστασθαι, καὶ γενήσεται ὕδωρ ἐν νυκτί. εἶτα σύμπηξον ὡς πρίν, καὶ θὲς εἰς τὸ ἀναλῦσαι καὶ πῆξαι τρίς, καὶ φύλαξον. καὶ ὅταν ἀναβιβάσῃς τὸν ἕρμῆν ἐν δευτέρᾳ φορᾷ, κρέμασον ἐν τῷ στόματι τοῦ κλοκίου τετρυπημένα πέταλα ἀργύρου κρεμάμενα μετὰ ῥάμματος σιδηροῦ. τοῦτο τοσαυτάκις ποίησον, ἕως οὗ γένωνται τετιτανωμένα, καὶ οὕτω ποίησον ἐκεῖθεν τίτανον λεπτοτάτην ἐπὶ πορφυροῦ, ὀγ. ἕξ. καὶ μίαν λίτραν τοῦ προειρημένου ὕδατος θὲς ἐν ἰάμβικι, καὶ τίθει ἐν αὐτῷ δύο ὀγ. ἐκ τῆς εἰρημένης τιτάνου. καὶ ὅταν λυθῇ, θὲς ἄλλας δύο, καὶ ὅταν λυθῶσιν εἰς τρόπον μέλιτος, θὲς ἐπὶ μαρμάρου, καὶ πάλιν θὲς ἄλλας δύο ὀγκίας τιτάνου, ἕως οὗ λυθῶσιν αἱ εἰρημέναι ἓξ ὀγκίαι. ἐν τούτῳ τῷ ὕδατι θὲς μετὰ τῶν ἓξ ὀγ. ἐκ [τούτου] τοῦ θείου τοῦ λευκοῦ, καὶ εὐθέως λυθήσονται. σύμπηξον ἐν ἰάμβικι, καὶ λῦσον ἐπὶ πορφυροῦ, καὶ παγήσεται. τρίτῃ φορᾷ ἔστιν ἔλαιον, ὃ οὐ παγήσεται. εἶτα λάβε τετταρακόντα ὀγκίας ἑρμοῦ ὠμοῦ καὶ κασσιτέρου δέκα, καὶ λῦσον ὁμοῦ ἐπάνω τούτων τῶν ἀγγείων, καὶ ἐπίβαλε μίαν ὀγ. ἐκ τοῦ εἰρημένου ἐλεξίρ, καὶ ἔσται σελήνη τελεία. καὶ εἰ θήσεις μίαν ὀγ. τούτου τοῦ ἐλεξὶρ ἐπάνω ὀγδοήκοντα ὀγ. χαλκοῦ, ἔσται σελήνη τελεία.|

XCVIII, 9. Λάβε λίτραν μίαν στάκτης κλημάτων! ἀγρίων καὶ μίαν λίτραν τιτάνου ἀσβέστου. μῖξον πάντα ὁμοῦ, καὶ λάβε ἓξ λίτρας ὀροῦ γάλακτος, καὶ τίθει εἰς ἥλιον ἡμέρας ἕξ, ἕως οὗ ὀξινίσῃ καλῶς, καὶ φύλαξον αὐτὸ ἀπὸ δρόσου καὶ κονιορτοῦ. καὶ ἐκ πάντων τῶν προειρημένων ποίησον καπιτέλουμ ἐπὶ πυρός, καὶ διήθησον διὰ πηλοῦ. εἶτα λείωσον ἐπὶ πορφυροῦ λεπτοτάτως ἓν μέρος ὀροῦ μετὰ τούτου τοῦ προειρημένομ ὀροῦ ἐν φιάλῃ ἐστακτωμένῃ, καὶ δὸς πῦρ, ἕως οὗ ὁ ὀρὸς γένηται ἐρυθρός, καὶ καταστάλαξον διὰ πηλοῦ. καὶ οὕτω ποίησον μετ' ἄλλου ὀροῦ F. 88.

1-2 μεταστάλαξον N, cum in R κ incertum sit **3** μελιτόδ(ον) R καινοῦ RN; an χαύνου? **9** καὶ οὕτω ποίησον ἐκεῖθεν bis scriptum in R **11** ἐπ' αὐτὸ N **15** τούτου seclusi **16** χύσον N **18** μ' ὀγγίας κρόκου ὠμοῦ N **19** τουτον τον R, τούτου τοῦ N αγγίον R, ἀγγείου N ἐστι R, ἔσται N; et l. 22 **23** α(δι)ριὼν R, ἀγρίων N, ubi ἀγ in rasura **25** ὀξηνὶσι R, ὀξυνήσει N **28** (δι)ήνθισον R, διήνθησον N **29** μέρου N τούτου τοῦ RN οὔροῦ· ἐν φίαλη R, ὀροῦ ἐν φ. N **30** οὐρῶς R, οὖρος et in marg. ὀρός N ἐρυθρὸν RN (ob lat. *serum*?) **31** οὔροῦ R, οὔρου et in marg. ὀροῦ N

in novo aceto, et solventur; et per lutum cola. Postea per alambicum destilla, et quod permaneat ita commisce, ut mixturam melleam efficiat, et furno recenti impone. Permitte stet, et fiet aqua in nocte. Postea compinge ut prius, et solutionem ter et compactionem fac, et serva. Cum vero iterum hydrargyrum elevabis, in poculi ore folia argenti perforata et ferreo filo suspensa impone. Haec totiens fac, donec fiant calcinata; atque ita inde fac calcis minutissimae, super porphyrum, uncias sex. Et litram unam aquae, quam supra diximus, pone in alambico; et in ipsa pone duas uncias calcis, quam diximus. Cum soluta sit, alias duas pone; et cum mellis instar solutae sint, marmori impone; et rursus calcis alias duas uncias pone, donec sex illae unciae, quas diximus, solvantur. In hac aqua pone, una cum sex illis unciis, sulphuris albi nonnihil : et statim solventur. Compinge in alambico, et solve super porphyrum; et compingentur. In tertia vice est oleum, quod non compingetur. Postea sume quadraginta uncias hydrargyri crudi et stanni decem, et una solve super haec vasa, et elexir illius, quod diximus, unciam unam impone; et erit argentum pulcrum. Et si huius elexir unciam unam unciis octoginta aeris impones, erit argentum perfectum.

XCVIII, 9. Sume litram unam cineris ramorum agrestium, et calcis inextinctae litram unam. Haec omnia misce una, et sume sex litras seri lactis, et soli dies sex expone, donec bene coacescat; ipsumque a rore et pulvere prohibe. Ex his omnibus, quae diximus, fac capitellum super ignem, et per lutum cola. Postea tere super porphyrum minutissime seri partem unam cum sero, quod diximus, in phiala cinerata; et ignem incende, donec serum rubrum fiat; et per lutum destilla. Atque ita fac in alio novo sero,

νεαροῦ, ἕως οὗ συνάξῃς τρεῖς ὀγ. ἐλαίου. στάθμισον τὴν ὑποστάθμην, καὶ ἐναπολειφθήσονται τέτταρες ὀγ. ῥύπος, ἐάν εἰσιν κατεσταλαγμέναι ὀκτώ. εἶτα καταστάλαξον δι' ἄμβικος τὸ προειρημένον ἔλαιον, καὶ ἀναχωρήσει τὸ ὕδωρ, καὶ ἐναπολειφθήσεται τὸ ἔλαιον εἰς τρόπον μέλιτος. εἶτα θὲς ἐπὶ μαρμάρου, λείωσον προσεχῶς, ἕως οὗ λυθῇ, καὶ τὸ ἀναλελυμένον λάβε, καὶ τὴν ὑποστάθμην τὴν ὑπομένουσαν ἐπὶ τοῦ μαρμάρου ῥίψον, ὅτι οὐδέν ἐστιν ἕτερον εἰ μὴ τὸ ἅλας τοῦ καπιτέλου. πάλιν στάλαξον ἐν τῷ ἰάμβικι εἰς τρόπον μέλιτος, καὶ λείωσον ἐπὶ πορφυροῦ, καὶ ποίησον τρὶς ὡς τὸ πρότερον λειῶν καὶ λύων καὶ τὰς ὑποστάθμας ἐκρίπτων, καὶ τῇ τρίτῃ φορᾷ φύλαξον τὸ ἔλαιον. ἐκ τούτου τοῦ ἐλαίου λάβε δύο λίτρας καὶ ἐξ ὕδατος μίαν λίτραν, καὶ θὲς ἐν ἰάμβικι, καὶ θὲς ὀγ. μίαν σιδήρου καταβιβασμένου καλῶς τετριμμένου, καὶ σύμμιξον ἐν ἰάμβικι εἰς τρόπον μέλιτος, εἶτα θὲς ἐπὶ μαρμάρου, καὶ λυθήσεται παραυτά, καὶ φύλαξον τοῦτο τὸ ἔλαιον. ἐκ τούτου τοῦ ἐλαίου θὲς ὀγ. μίαν ἐπὶ ἓξ λίτρας μολύβδου ἀναλελυμένου, καὶ ποίησον τὸ ἀγγεῖόν σου ἐπὶ α'... ἀργύρου | ἀμαλγάμας. σωμάτωσον ἓν κεράτιον τοῦ εἰρημένου ἐλαίου πρὸ τοῦ ἐν τῇ θυείᾳ γενέσθαι, τῆς μαλάγμης τεθείσης. F. 88v.

XCVIII, 10. Λάβε ὀγ. δύο ἀργύρου καὶ ὀγ. μίαν ἑρμοῦ ἀναβιβασμένου τρὶς ἢ τετράκις, καὶ λείωσον ὁμοῦ ἐπὶ μαρμάρου, καὶ θὲς ἐν κοχλιαρίῳ ἐπ' ἀνθράκων. καὶ ὅταν ἴδῃς ὅτι φλογίζει, ἔξελε, καὶ λείωσον ἐπὶ πορφυροῦ· τοῦτο γενέσθω τετράκις. εἶτα θὲς ἐν φιάλῃ ἐπ' ἀνθράκων, καὶ ὅταν ἴδῃς τὸν ἑρμῆν ἀναβαίνοντα, σκέπασον μετὰ βησσάλων, καὶ μετὰ ῥάβδου ἀνακίνει, εἴ ἐστιν ἀναλελυμένος. εἰ δὲ μή ἐστιν ἀναλελυμένος, ἔασον ἵστασθαι, ἕως οὗ ἀναλυθῇ, καὶ εὐθέως ἀνακίνει. εἶτα κλεῖσον τὴν φιάλην καὶ στάθμισον, καὶ εἰ φυράσῃ τι ἐκ τοῦ σταθμοῦ αὐτοῦ, πρόσθες ἐκ τοῦ ἑρμοῦ τοῦ ἀναβιβασμένου, καὶ ἀναλυθήσεται. εἰ δὲ πλέον λάβῃ τι ἐκ τοῦ προειρημένου ἀναβιβασμένου, ὡς εἶναι τὸ πρῶτον αὐτοῦ σταθμόν, οὐδὲν βλάπτει.

1 ελὲὸν R, ἔλαιον N **2** υπόσταθμ(ον) R δ' ογγίες R **10** (λειῶν) R, τρίβων N cf. p. 310, l. 3 **18** επι α' ☽ in extrema l. et in extrema pag. R, ubi sequitur f. 88v, l. 1 ἀμαλγάμας; et ἐπὶ α' ☽ ἢ μαλγάμας N; sed hic hiare textus videtur, cum ex gr. desit mensurae nomen post α' et verbum infin. post ποίησον **20** μαλάγμ(ης), ubi μ et με legi possit, R, μαλαγμένης N **26** βισαλὸν R, βισάλων N ραῦδου R, ῥαβδίου N **28** ανα(καί)νῆ R, ἀνακαίνει N

C, 10. Λάβε θεῖον καθαρὸν καὶ καλῶς διαυγές, καὶ λείωσον λεπτοτάτως, καὶ τριφθὲν σωμάτωσον καλλίστως μετὰ ἰσοστάθμου ἁλὸς ἀλκαλὶ ἢ στυπτηρίας καὶ νίτρου καὶ χαλκάνθου ἢ ἁλὸς κοινοῦ ἢ τοῦ λευκοῦ τῶν ᾠῶν. καὶ οὕτω τεθήτω ἐπὶ πυρός, καὶ ἔστω τὸ πῦρ μεσαῖον, καὶ ἑψηθήτω ἐκεῖ, καὶ ἐκζεσθήτω μετὰ τοῦ ἅλατος δύο ὥρας, καὶ κινείσθω ἀεί, μή πως κολληθῇ τῷ τηγάνῳ καὶ καῇ. καὶ σωματωθήτω καλλίστως ἐν τῷ αὐτῷ ἅλατι, ἕως οὗ καλῶς συμμεμιγμένον φανῇ εἰς ζύμην μέλαιναν, καὶ τότε | ἐαθήτω ψυχρανθῆναι. F. 96v. καὶ ἔχε πρωτεῖον ἰσχυρότατον πεποιημένον ἐξ ὕδατος ἁπλοῦ καὶ τιτάνου καὶ ἐξ τέφρας κλημάτων, ἢ ἔχε ἄλλον ὕδωρ ὀξύτατον, οἷόν ἐστι τὸ οὖρον ἢ τὸ ὄξος, καὶ καθαρθήτω τὸ θεῖον ἐκεῖνο μετὰ τοῦ ἰδίου ἅλατος πρότερον καλῶς τετριμμένον, καὶ βρασάτω ἐπὶ πυρὸς ἰσχυροῦ, ἕως οὗ ὅλον τὸ ἅλας ἐξεχυθῇ μετὰ τῆς αὐτοῦ γλισχρότητος, καὶ κινείσθω συχνῶς τὸ ὕδωρ, ἕως οὗ

5 ἅλας] sequitur in R linea vacua tota ad recipiendum titulum idonea **7** πρὸς τοῦτο RN, et in marg. ἴσως πρὸ τοῦτο N **8** incertum λύσον an χύσον scriptum sit R **9** τῆς σολίνης R, τῆς σολῆνος N (cf. lat. *canna*?) **11** τησολήνις R, τῆς σολῆνος N σφυρίου R, σφηρίου N **14-15** αμφοιβόλος R, ἀμφιβόλως N **15** αὐτοῦ] sequitur in R linea vacua tota ad recipiendum titulum idonea **24** ἐαθήτω] εισθίτω R, εἰσθήτω et in marg. πολλοῦ τεθήτω N **24-25** πρωτίον RN **25** ἁπλοῦ N **27** οὐρῶς R, οὗρος N **30** σγλήχρῶτιτὸς R; et p. 346, l. 1

C, 8. Sume chalybem purissimum, et fac petala subtilissima, et in aceto fortissimo solve. Postea ter chalybis folia inflamma, atque ter in aceto, quod diximus, extingue; atque ita postea tamquam sal solvetur.

C, 9. Solve aurum, quod purgandum sit, in igne validissimo, in vase huic apto operationi. Cum solutum sit, in ipso sulphuris apyri clari et puri nonnihil pone. Postea tubo infunde; et in medio tubo collectum aurum invenies, scoriam autem seu aliam faecem in summo tubo per se iacentem <reperies>; quam malleo percutiens technice separare porteris. Si vero in prima solutione non separetur perfecte, rursus hoc fac bis vel ter vel quater, si opportunum sit; atque hac arte procul dubio ipsius scoriam auferes.

C, 10. Sume sulphur purum et pulcre clarum, et tere minutissime, et tritum cum salis alcali, seu aluminis, seu nitri et chalcanthi, seu salis communis, seu ovorum albi eodem pondere pulcerrime corpora. Atque ita igni imponatur (et ignis modicus sit), ibique coquatur, et cum sale horas duas fervescat; et semper <a te> moveatur, ne patellae quodammodo adhaereat atque uratur. Et in ipso sale pulcerrime corporetur, donec bene commixtum sit, et nigri fermenti speciem praebeat; et tunc sine frigefiat. Et habe lixivium validissimum ex aqua simplici et calce et ramorum cinere confectum; seu habe aliam aquam acerrimam, velut urinam seu acetum; et illud sulphur sui ipsius salis ope purgetur (prius autem bene tritum sit), et super ignem validum fervefiat, donec sal omne cum ipsius viscositate effundatur : aqua vero <a te> frequenter [moveatur, donec

μηδὲ ἀπομείνῃ τῆς γλισχρότητος αὐτοῦ τι καὶ ἁλμυρότητος. τότε στεγνωθήτω τὸ θεῖον, καὶ τριφθήτω πάλιν μετὰ ἰσοστάθμου ἁλός κοινοῦ, καὶ βρασθήτω πάλιν ὡς πρότερον, καὶ ἐξεχυθήτω ἡ ἁλμυρότης, καὶ ψυχρανθὲν τριφθήτω, καὶ βρασάτω ὡς πρὶν εἰς ὕδωρ ὀξὺ πολλάκις ἀνακαινισθέν, ἕως οὗ τὸ ἅλας ἐξέλθῃ. καὶ οὕτω ποίησον τρίς, καὶ τότε ἐστὶν ἐπιτήδειον εἰς τὸ ἀναβιβασθῆναι. τότε ἀναβίβασον αὐτὸ οὕτω.

C, 11. Λάβε στυπτηρίαν, οἵαν θέλεις, καὶ τίθει ἐν χύτρᾳ πηλίνῃ, καὶ θὲς εἰς πῦρ ἰσχυρὸν ἕως ἡμισ. ἢ μιᾶς ὥρας, καὶ ἔσται τετιτανωμένη. ταύτην τὴν στυπτηρίαν μετὰ ἰσοστάθμου ῥινίσματος σιδήρου ἢ χαλκοῦ τίθει, καὶ ῥαῖνε μετὰ ὄξους, καὶ συμμίγνυε καλῶς μετὰ διπλοῦ αὐτοῦ τῶν ἰλύων. λείωσον ἀνὰ σταθμὸν τοῦ προειρημένου θείου, καὶ σωμάτωσον μετὰ τριῶν <. . . . .>. ταῦτα ῥᾶνον μετὰ ὄξους, εἶτα ξήρανον ἐν ἡλίῳ καὶ χαύνῳ πυρί, καὶ τίθει ἐν τῷ ἀναβιβαστηρίῳ, οὕτω ποιῶν· θὲς ἐκ τῶν εἰρημένων ξηρίων ὑποκάτω πάτον κύκλῳ εἰς πάχος ἑνὸς δακτύλου, | ἐγγὺς δὲ τὸ θεῖον τὸ ἀναβάν. καὶ τότε τίθει τὸ θεῖον εἰς τὸ μέσον, καί, τούτου τεθέντος, ἐπίρρανον πάτον ἐκ τῶν εἰρημένων ἰλύων, καὶ οὕτω πανταχόθεν ἀποκλεισθήτω ἀνὰ μέσον τῶν ἰλύων. καὶ τότε τεθήτω εἰς χαῦνον πῦρ ἐν τρισὶν ὥραις. καὶ ὅταν ἡ ὑγρότης ἐξέλθῃ, χρῖσον τὸ ἀγγεῖον καλλίστως, καὶ ἰσχυροποιηθήτω τὸ πῦρ κατὰ μικρὸν ἕως εἰς καλὴν ὥραν, καὶ τότε ψυχρανθήτω τὸ ἀναβάν· πάλιν δέ ἐστιν ἀναγκαῖον τὸ γενέσθαι πῦρ χαῦνον ἐξ ἀρχῆς, εἶτα ἰσχυρόν, καὶ τὸ εἶναι τὸ σκέπασμαν τοῦ ἀναβιβαστηρίου πολὺ ἐξηρμένον τοῦ πυρός, μή ποτε κατακαῇ τὸ ἀναβιβαζόμενον αὐτό. καὶ τοιούτῳ τρόπῳ ἀναβιβάζεται ἑπτάκις μετὰ τοιαύτης ἰλύος, ἢ ἕως οὗ ὅλον γένηται παντελῶς λευκὸν καὶ καθαρόν, διαυγὲς καὶ ξηρὸν χωρὶς πάσης ξηρότητος φθαρτικῆς. οὕτως τελειώσεως σημεῖόν ἐστι F. 97.

1 μιδὲ R, μηδὲν N τι om. N **6** (ἐστὶν) R, ἔσται N **12** αὐτοῦ ob lat. *alumen* ιλὺὸν R, τὸν ☉ N, cuius scriba intellexit non ἰλύων sed ἥλιον **14** lacunam non indicant RN; deest mensura et res ῥᾶνον] ρὲνον R, ῥαῖνον N υλίῶ (και) R, ἡλίῳ καὶ et in marg. ἢ N **16** ειρειμένὸν ξυρίον R εἰρημένου ξηρίου N **17** εγγι (δι) R, ἐγγὺς δὲ N αναβιβὰν R, ἀναβιβασθὲν N **19** ἰλίον R, ☉ N, cuius scriba intellexit ἥλιον **23** ανάγγεόν R **25** πολὴν RN **26** αὐτὼ R τρὸπον N **27** ἕως οὗ γένηται N **29** οὗτως R οὗτος N; expectes τοῦτο. — οὗ τῆς ? Delatte

ipsius viscositatis et salsedinis nihil maneat. Tunc constringatur sulphur et teratur rursus cum eodem salis communis pondere, et rursus fervescat, ut prius, in aqua acri saepe renovata, donec egrediatur sal. Atque ita fac ter; et tunc ad elevationem aptum est. Tunc ipsum ita eleva.

C, 11. Sume alumen quodvis, et pone in olla lutea. Et igni valido dimidiam horam vel horam unam expone; et erit calcinatum. Hoc alumen cum eodem ramenti ferri seu aeris pondere pone, et asperge, acetum adhibens; et pulcre cum dupla faecum vi commisce. Tere sulphur, quod diximus, et corpora cum tribus... Haec asperge, acetum adhibens; postea in sole seu igni laxo sicca, et in ascensorio hac ratione pone: in ima parte, xeriorum, quae diximus, ordinem orbiculatim in unius digiti altitudinem, et prope sulphur, quod ascenderit, <pone>. Et tunc in medio tubo sulphur pone; et, cum collocaveris, faecum, quas diximus, ordinem asperge; atque ita undique in faecibus claudatur. Tunc tres horas igni laxo exponatur. Et cum humiditas egressa sit, ungue vas pulcerrime, et ignis vis paulatim, usque ad horam unam, augeatur. Et tunc illud quod ascenderit frigefiat. Rursus autem necesse est ignis laxus ab initio fiat, postea validus, et ascensorii tegumentum procul ab igne sit, ne illud quod ascendat uratur. Hac ratione cum huiuscemodi faece elevatur septies, vel donec omne omnino album et purum, clarum et siccum absque omni perniciosa siccitate fiat. Atque sic perfectionis

διαυγὴς καὶ κρυσταλλίνη λαμπρότης. χαῖρε, ὅτι ταμεῖον θησαυρῶν ἐστι, ἐκεῖνο δὲ ἀπόθου· καθαρὸν γάρ ἐστιν, δύναμιν ἔχει εἰσελάσεως βαφῆς, καὶ τοῦτο εἰς τὸ κρεῖττον μετάγει. τότε εἰς τὴν σύμπεψιν αὐτοῦ καὶ κατοχὴν καὶ συμπλήρωσιν τοιούτῳ τρόπῳ πρόσελθε.

C, 12. Λάβε ὄξος ἰσχυρότατον τὸ ἐλάχιστον τρὶς κατεσταλαγμένον, καὶ ἀνάλυσον μετ' αὐτοῦ τοῦ προειρημένου θείου προστιθεὶς αὐτῷ πέμπτον σταθμὸν ἁλὸς ἀμμωνιακοῦ τρὶς ἀναβι|βασμένου, καὶ τοῦτο καλλίστως σύμμιξον, καὶ σύντριψον ἐπὶ μαρμάρου, καὶ ῥαῖνε ἄνωθεν μετὰ τοῦ προειρημένου ὄξους, ἕως οὗ γένηται σάλσα ὑδαρά. καὶ τοῦτο ὅλον ἐν φιάλῃ ὑελίνῃ βαλὼν θὲς ὑπὸ κόπρον ἱππείαν θερμήν, καὶ ἔασον ἡμέρας πεντεκαίδεκα, ἕως οὗ ὅλον λυθῇ. ὅταν δὲ λυθῇ, ἔξελε, καὶ θὲς ἐν φιάλῃ ἀνὰ μέσον στάκτης θερμῆς καὶ ἀκρατοῦς, ἀνεῳγμένον ὂν τὸ στόμα τῆς φιάλης, ἕως οὗ ὅλος ὁ ὑγρὸς ἀτμὸς ἐξέλθῃ. τότε κλεῖσον τὸ στόμα, καὶ δὸς συνεχῶς πῦρ εὔκρατον ἐν ὥρᾳ ἀκεραίᾳ, ἢ ἕως οὗ τὸ ὅλον γένηται πηκτόν. τότε σύντριψον τὴν φιάλην, καὶ εὑρήσεις τὸ θεῖον ἀναβιβασμένον, οἷον κεκαθαρμένον, βάπτον, κεκηρωμένον καὶ εἰσερχόμενον, κάτοχον ἐν πυρί. εἰ δὲ λίπῃ ἐν κατοχῇ, τὸ ἔλλειμα τοῦτο ἀναπληρωθήσεται διὰ δευτερώσεως λύσεως καὶ συμπήξεως, ὡς εἴρηται. ὅταν δὲ αὐτὸ εἰς τοῦτο ἀγάγῃς, δυνήσῃ εὐτρεπίσαι ἐξ αὐτοῦ λευκοῦ λευκὸν διὰ ἀργύρου, κασσιτέρου καὶ χαλκοῦ οὕτω.

F. 97v.

C, 13. Λάβε ἑρμῆν ζῶντα καὶ μῖξον αὐτὸν μετὰ ἡμίσεος σταθμοῦ αὐτοῦ κασσιτέρου λυθέντος καὶ ἐξαφρισθέντος. λείωσον καλλίστως ἐπὶ μαρμάρου μετὰ ἰσοστάθμου ἁλὸς προεκζεσμένου, καὶ σωμάτωσον καλλίστως αὐτὰ τὰ δύο μετ' ἐκείνου τοῦ ἅλατος, καὶ τρῖβε καλλίστως δίχα τῆς ὑγρασίας ἐκείνης, ἕως οὗ τὸ ἅλας μελαίνηται. καί, τῆς μελανίας ἐξ αὐτῶν ἐξεχυθείσης,|τότε πλῦνον

F. 98.

1 διαυγὲς RN κρισταλινὸς R, κρυστάλλινος N ταμίον θησαυρὸς R, ταμεῖον θησαυροῦ N 3 διελάσεως et in marg. εἰσελεύσεως N 8 αυτων R,
ου
αὐτῷ N σταθμοῦ RN 11 ἐκ τούτου ὅλον N 14 ακράτης R, ἀκράτης N
τ
15 ον R; sed ἀνεῳγηένου ὄντος τοῦ στόματος N ὑγρὸς om. N 16 συνεχὲς N 19 (και)κηρόμένον R, καὶ κηρωμένον N 20 λύει ἡ κατοχή, ubi λυ in rasura N
τ τ
έλυμα R τούτου RN 24 ☽ ζων R, ubi ζ in extrema linea, ab ον sequentis
ῶν
linea disiunctum; ☽ ♄ ὄντα N ♃ R, ἥμισυ N 29 αυτὼν R, αὐτοῦ N ἐξέχυθίσεις R, ἐκχυθείσης N

signum est clara et crystallina luciditas. Gaude, quia tibi thesaurorum penum est, et illud ipsum sepone; nam purum est eamque habet vim ut penetret tinctura, atque ad melius adducit. Tunc ad ipsius concoctionem et detensionem et consummationem tali ratione procede.

C, 12. Sume acetum fortissimum ter saltem destillatum, et per ipsum sulphuris, quod supra diximus, nonnihil solve, quintam ipsi salis ammoniasi, ter elevati, partem addens; et hoc pulcerrime commisce, et super marmor contere, atque asperge, acetum adhibens, quod diximus, donec humida salsa fiat. Hoc totum in phiala vitrea pone, et sub fimum equinum calidum colloca, ibique sine dies quindecim stet, donec omne solvatur. Cum solutum sit, extrahe; et in phiala pone in cinere calido et puro — aperto phialae ore — donec omnis humidus vapor egrediatur. Tunc os claude, atque sine intermissione ignem bene temperatum horam unam integram, vel donec omne compactum sit, incende. Tunc phialam rumpe, et sulphur elevatum invenies, quasi purgatum, tinguens, ceratum et penetrans, in igne detentum. Si vero quid in detensione desideretur, huic defectui mederi solutionis et compactionis iteratione poteris, ut dictum est. Cum vero huc ipsum adduxeris, ex ipso albo albam quasi <materiem> ex argento et stanno et aere hac ratione praeparare poteris.

C, 13. Sume hydrargyrum vivum, ipsumque misce cum dimidio stanni soluti et despumati pondere. Tere pulcerrime super marmor cum eodem salis, quod prius ebulliverit, pondere; et haec ipsa duo cum illo sale corpora, et tere pulcerrime absque illa humiditate, donec sal nigrescat. Et cum omnis ab ipsis humiditas effusa sit, tunc rem totam aqua simplici lava, donec

ὅλον μετὰ ὕδατος ἁπλοῦ, ἕως οὗ τὸ ἅλας ὅλον ἐκβῇ. οὗ ἐκβληθέντος, σφῖγξον τὸν κασσίτερον μετὰ τοῦ ἑρμοῦ ἐν ὀθονίῳ, ὅπως ξηρανθῇ, καὶ πάλιν τρῖψον αὐτὸν μετὰ ἰσοστάθμου νεαροῦ ἅλατος, ἕως οὗ τὸ ἅλας μελαίνηται, ὡς τὸ πρίν. καὶ πάλιν ἔξελε τὸ ἅλας μετὰ τοῦ ὕδατος, ὡς τὸ πρίν, καὶ πάλιν ποίησον ἐκ τρίτου ὡς τὸ πρὶν μετὰ τοῦ ἅλατος. καὶ τῇ τρίτῃ φορᾷ ἔκζεσον ἄμφω, αὐτοῦ τοῦ ἅλατος συντετριμμένου <μετὰ> χαύνου πυρὸς ἐν πηλίνῳ τηγάνῳ ἐν μιᾷ ὥρᾳ, ὅπως τὸ ἅλας ἐκβῇ. ὅταν δὲ ὁ ἑρμῆς ἄρξηται πετάσαι, ἔξελε ἐκ τοῦ πυρός, καὶ λείωσον καλλίστως μετὰ τοῦ αὐτοῦ ἅλατος, ἔστ' ἂν ἐνῇ λίαν μέλαν ἐκ τῆς ὑγρότητος καὶ τῆς μελανίας τῆς θειώδους τῆς ἐξ αὐτῶν προγενομένης. καὶ τότε ἔξελε τὸ ἅλας μετὰ τοῦ ὕδατος, ὡς τὸ πρίν. τοιούτῳ τρόπῳ ξηραίνεται καὶ καθαίρεται ὁ ἑρμῆς, καὶ ξηραίνεται ἀπὸ τῆς μελανίας τῆς θειώδους τῆς αὐτοῦ ἀρχῆς, καὶ ὁ κασσίτερος, ἤγουν διὰ τρίψεως καὶ ἐκζέσεως μετὰ ἅλατος. ἀλλὰ δεῖ πληθῦναι τὰς ἐκζέσεις καὶ τὰς τρίψεις, ἕως οὗ ἐξέλθῃ δι' αὐτῶν ἡ θειώδης καὶ ἡ κάθυγρος μελανία αὐτοῦ.

C, 14. Ἐγὼ δωδεκάκις ἔτριψα αὐτὸν μετὰ τοῦ ἅλατος, ὡς προείρηται, καὶ δωδεκάκις ἔβρασα αὐτόν, καὶ τότε ἀνέλυσα αὐτὸν ὁμοῦ, ἐξαχθέντος τοῦ ἅλατος, καὶ εὗρον φύραμα λευκώτατον καὶ καθαρώτατον, πλὴν εὔθραστον λίαν, διότι ὁ ἑρμῆς οὔπω ἦν πεπηγμένος οὐδὲ <μεμιγμένος (?)>, | ἀλλὰ ἀκμὴν ἐπέτετο. πλὴν ἦν καθαρώτατος, καὶ μετὰ τούτου κατέχετο χωρὶς τρίξεως, καὶ ἡ νεφέλη ἡ μέλαινα καὶ ἡ κίτρινος ἐξέλιπε. καὶ τοῦτο ἐγένετο σημεῖον τοῦ ὅτι ἔλαττον θειότητος ἦν, ἥτις ἰδιοτρόπως ἐχαυνώθη τούτοις ἀμφοτέροις. F. 98v.

C, 15. Οὕτως ᾠκονομήθη σοι τὸ θεῖον τὸ οἰκονομηθέν, οὕτω συμμίγνυνται, λύονται ἄμφοι ὁμοῦ, καὶ ἐπάνω αὐτῶν ἀναλελυμένων, ἰσχυρῶς πεπυρωμένων, ἐπιβάλλεται μέρος ἕβδομον τοῦ εἰρημένου θείου, καὶ συγχώννυται δι' ὅλου ἀνὰ μέσον ἀμφοῖν

2 σφίξον R, σφήξον et in marg. ἴσως σμίξον N **7** μετὰ omisit R, exhibet N **10** ἐστανένι λίαν R, ἐστὰν ἐν ιλυος et in marg. ἐσταρένει λίαν N; nam in R εσταρένι primo obtutu legitur **11** μέλεν R **12** αυτὸν R, αὐτῶν N **15** α^{χ}ρ RN **16** πλιθὴνε R, πληθήναι N **22** εὔχραστôν R, εὔθραστôν N **23** πεπηγμένος, οὐδὲ πεπηγμένος ὁ R; πεπηγμένος N, ubi οὐδὲ πεπη^{τ}γμένος omittuntur **28** ὀκονὸμιθίσι R **29** σιμίγνη R, συμμίγνυται N αμφοὺ R, ἄμφω N **29-30** ἀναλελυμένον et πεπυρωμένον RN

sal omne egressum sit. Quo expulso, stannum cum hydrargyro in linteolo adstringe, ut siccetur, et rursus tere cum eodem novi salis pondere, donec sal, ut prius nigrescat. Et rursus sal extrahe, aquam adhibens, ut prius, et rursus tertium fac, ut prius, sal adhibens. In tertia vice utrumque fervefac (et sal tritum sit ignis laxi ope unam horam in patella), ut sal egrediatur. Cum vero hydrargyrus evolare coeperit, ex igne detrahe, et cum ipso sale pulcerrime tere, donec sal valde nigrum insit ob humiditatem et nigritiem sulphuream, quae prius ex ipsis effecta sit. Tunc sal detrahe, aquam adhibens, ut prius. Hac ratione siccatur et purgatur hydrargyrus ; et siccatur e nigritie sulphurea eius principii : itemque stannum, per contritionem scilicet et ebullitionem cum sale. Sed ebullitiones et contritiones multiplicemus oportet, donec per ipsas ipsius sulphurea et humida nigrities egrediatur.

C, 14. Ego duodecies ipsum cum sale, ut dictum est, trivi, et duodecies fervefeci; et tunc, expulso sale, una solvi, et massam repperi maxime albam et puram, sed nimium fragilem, quia hydrargyrus nondum compactus neque mixtus erat, sed paullulum evolaverat. Sed purissimus erat, et detinebatur absque stridore, nubesque nigra et citrina defecerat. Et hoc signum erat minorem sulphureitatis vim inesse, quae per se utriusque opera laxata erat.

C, 15. Hac ratione tibi praeparatum est sulphur praeparatum : hac ratione utrumque commiscetur et una solvetur : et ipsis solutis et valde inflammatis septima sulphuris, quod diximus, pars inicitur, et cum [utroque funditur omnino

λελυμένον, καὶ κρατεῖται ἐκεῖνο τὸ θεῖον μετὰ λαβίδος σιδηρᾶς, ἕως οὗ λυθῇ μετ᾽ αὐτῶν καὶ σωματωθῇ μετ᾽ αὐτῶν, ὃ παραυτὰ γίνεται, εἴπερ σωματωθῇ καλῶς μετὰ τοῦ εἰρημένου ἁλὸς ἀμμωνιακοῦ, ἢ καὶ ἔξω τῆς ἑαυτοῦ φύσεως γεγένηται κεκηρωμένον. σωματωθὲν τὸ θεῖον μετ᾽ αὐτῶν ἐκβληθήτω παραυτὰ τοῦ πυρός, καὶ χυθήτω ὅλον εἰς ὄξος, κἂν ἅπαξ κατασταλάξαν, καὶ ἐκτεθήτω ἐκεῖ ψυχρανθῆναι. καὶ εὑρεθήσεται φύραμα λευκότατον, πλὴν χαῦνον καὶ εὔθρυπτον. ἴσθι λοιπὸν περὶ τῆς φύσεως αὐτῆς τῆς μεταλλικῆς ζύμης, ὅτι ὠμὴ καὶ ἄπεπτός ἐστι καὶ εὔθρυπτος καὶ οὐ καλῶς πεπηγυῖα. καὶ τοῦτο λογισμός ἐστιν ὅτι ὁ ἑρμῆς ὠμόν τι ἐστὶ καὶ ἄπεπτον καὶ ἐκ μέρους κασσίτερος, καὶ οὐκ ἔστι καλῶς συμμεμιγμένος οὐδὲ συμπεπηγμένος, ὥσπερ οὐδὲ ὁ μόλυβδος, καὶ διὰ τοῦτο ἀπὸ τῆς δυνάμεως τοῦ πυρὸς εὐθύς, οἷον νέφη, συνάγεται, ὥσπερ ἐν τῇ αὐτοῦ ἀναλύσει πάσ|χει τὸ ἥμισυ αὐτοῦ. τὸ δὲ θεῖον καθαρᾶς συνθέσεώς ἐστι. F. 99.

C, 16. Τούτων οὕτως ἐχόντων γενέσθω ἀγγεῖον πήλινον, ὡς πίναξ, ἔχον σκέπασμα ἀνεῳγμένον, καὶ τεθήτω ἐν αὐτῷ ἡ ζύμη. καί, χρισθέντος τοῦ σκεπάσματος, τεθήτω ἐπὶ πυρὸς χαύνου πρὸς τὸ ἀναβιβασθῆναι, καὶ δοθήτω αὐτῷ τοιοῦτον πῦρ ἐπὶ ἡμέραις τρισίν, ὥστε τὴν ζύμην ἑψηθῆναι καὶ πεφθῆναι καὶ παγῆναι τοῦ πυρὸς καὶ τοῦ θείου βοηθείᾳ. καὶ ἵνα μὴ ὁ ἑρμῆς ἀπὸ τοῦ κασσιτέρου καὶ τοῦ θείου ἀποκοπῇ ἀναβαίνων, ἑκάστην ὥραν ἀναστραφήτω ὁ πίναξ ἄνω κάτω· καὶ οὕτως ὁ ἑρμῆς, τοῦ θείου συμπηγνυμένου καὶ συντιθεμένου, οὐκ ἂν ἐκφύγῃ τὸν κασσίτερον, μεθ᾽ οὗ ἕψεται. τοιούτῳ τρόπῳ κατασκευασθήσεται ἐξ ἑρμοῦ ὁ κασσίτερος ζύμη ἑρμοῦ, εἰς ἄργυρον, λευκὴ καὶ σφυρήλατος καὶ κάτοχος. πλὴν ὀφείλει ἡ εἰρημένη ζύμη, ἀναλυομένη εἰς ὄξος ἰσχυρόν, σβέννυσθαι συνεχῶς, ὅπως συντομώτερον συμπαγῇ καὶ ψυχρανθῇ μετὰ τῆς ἐνεργείας τῆς θέρμης.

2 σῶματῶθὴ μετῶν R, σ. μετ' αὐτῶν N **3** γένετε R καλὼ R **6** καταςταλάξης N **7** ἐκθίτω R **8** εὔθραπτον N **10** εὐθάπτος N λογισμός = *argumentum* = *prova* **12** σιμεμιγμένον· οὐδὲ σύνπεπυγμένος R (neutrum ob lat. *stannum*); καλὸς συμμεμιγμένος οὐδὲ συμπεπυγμένος N **15** πάσχὺ R **20** επι οι ϭ ϭ Γ' (scil. ἐπὶ οἱ <μέραις = ἡμέραις> γ' R, ἐπὶ ϭ ϭ γ' N **22** βοηθείᾳ τ. πυρὸς κ. τ. θείου N **27** ἐξ ε ☽ ὁ κα ♃ RN, scil. ἐξ ἑ<ρμοῦ> ☽ ὁ κα<σσίτερος> ♃ λευκὴν (ἡ supra) N

solutum, et illud sulphur coercetur capulo ferreo, donec solvatur et cum ipsis corporetur. Quod statim evenit, si quidem cum sale ammoniaco, quod diximus, bene corporatum sit, vel extra ipsius naturam ceratum sit. Sulphur cum ipsis corporatum statim ex igne extrahatur, et omne aceto, et semel elevato, infundatur; ibique exponatur, ut frigefiat. Et invenietur massa maxime alba, at laxa et fragilis. Ceterum scias metallici fermenti naturam ipsam crudam esse et incoctam et fragilem et non bene compactam. Atque nobis hoc argumento est hydrargyrum rem quamdam esse crudam et incoctam, et partim stannum esse; non tamen esse bene commixtum et compactum (itidemque plumbum). Idcirco, ignis vi, quasi nubes, cogitur, qua ratione in ipsius solutione dimidium ipsius patitur. Sed sulphur purae compactionis est.

C, 16. Cum haec ita se habeant, sit vas luteum, tabulae modum referens, tegumento praeditum, apertum; et in ipso fermentum ponatur. Uncto tegumento, igni laxo imponatur, ut elevetur; atque huiuscemodi ignis tres dies ipsi ita incendatur, ut ignis et sulphuris ope fermentum coquatur et compingatur. Atque ne hydrargyrus ascendens a stanno et sulphure separetur, singula quaque hora tabulam ita verte, ut superiores tabulae partes inferiores fiant; atque ita hydrargyrus, postquam sulphur compactum et compositum sit, stannum, quocum coquitur, non effugiet. Hac ratione ex hydrargyro stanni fermentum (ad argentum) album, malleabile, detentum fiet. At hoc fermentum, de quo loquimur, in aceto forti solutum, sine intermissione extinguatur oportet, ut citius caloris vi compingatur et frigefiat.

C, 17. Ταύτην τὴν μῖξιν τοῦ ἑρμοῦ, ὡς δεδύνημαι, ἐπετήδευσα, καὶ τὰ μὲν ἄλλα τῷ ἔμφρονι ἀφίημι, τοῦτο δὲ μόνον προστίθημι, ὅτι τὸ βοράχιον ὑπὲρ πάντα ἐν τῇ ἑνώσει καὶ συναγωγῇ τῶν μετάλλων συμβάλλεται, καὶ ὅτι ὁ κασσίτερος χωρὶς ἀμφιβολίας εὐκόλως καὶ συντόμως [ἑτοιμάζεται, καὶ] διὰ τοῦ εἰρημένου θείου ἑτοιμάζεται, καὶ εὐοδοῦται, καὶ προφανῶς βελτιοῦται, καὶ λευκαίνεται, καὶ σωματοῦται, καὶ τὰ νεφελώδη ἀποβάλλει, καὶ τὴν τρίξιν ἀποτίθεται, καὶ ὑγρότητα λαμβάνει, καὶ τὴν μελανίαν μετὰ τῆς θραύσεως συγκερνᾷ, καὶ τὴν σελήνην κατὰ κράτος μάχεται πρὸ τοῦ ἑτοιμασθῆναι· μετὰ τὴν αὐτοῦ ἑτοιμασίαν καὶ ἰατρείαν σύντροφον λαμβάνειν καὶ φίλην ἰσχυρᾷ συμπήξει ἡνωμένην οὕτως, ὥστε τοῦτο ἀπ' αὐτῆς μόλις ἢ οὐδαμῶς ἐκ στάκτῃ ἀποχωρῆσαι δυνήσεται· ἧς μεταχειρίσεως ἡ ὁδός ἐστιν αὕτη.

F. 99

C, 18. Λῦσον τὸν κασσίτερον, καὶ δὸς αὐτῷ ἰσχυρὸν πῦρ ἐν διαστήματι ψαλμῶν τριῶν, καὶ ἐξάφρισον αὐτὸν ἅπαξ ἀφαιρῶν ἐξ αὐτοῦ τὸ ἐπιπολάζον νέφος, ἕως οὗ διὰ τοῦ τοιούτου τρόπου ὅλως [τοιούτῳ τρόπῳ] συντελεσθῆναι διὰ τῆς ἐπαφαιρέσεως τῶν νεφῶν. τότε σύναξον καθαρῶς τὰ νέφη, καὶ βράσον μετὰ ὄξους ἰσχυροτάτου ἕως ἡμισ. ἡμέρας. καὶ τότε σακκέλισον τὰ αὐτὰ δι' ὀθονίου, καὶ ἐκπίεσον, καί, πιεσθέντος καλῶς, λείωσον μετὰ ἰσοστάθμου ἁλός, ἕως οὗ ὅλον μελανωθῇ. καὶ τότε ἔξελε τὴν ἁλμυρότητα, ὡς προεῖπον, καὶ οὕτω ποίησον δωδεκάκις ἀνακαινίζων τὸν σταθμὸν τοῦ ἅλατος. καὶ τότε ἐστὶ καλλίστως ηὐτρεπισμένος εἰς τὸ λαβεῖν ἰατρείαν. καὶ δὸς αὐτῷ ἐκ τοῦ προειρημένου θείου σταθμὸν ἕβδομον τιθεὶς αὐτὸ ἀναλελυμένον καὶ κατέχων ἀποκεκλεισμένον, ἕως οὗ λυθὲν σωματωθῇ μετ' αὐτοῦ.

2 τούτου R **3** πὰ$^{\tau}$ν R, πάντα N **5** ἑτοιμ. καὶ expunxi **8** ὑδρότητα N **10** ☾ ην R πρôτα R, πρῶτα N **11** α$^{\tau}$υ R λαμβάνην (και) φοιλὴν εισχυρὰ σὺνπίξη R, λαμβάνειν καὶ φιλεῖν ἰσχυρὰν σύμπηξιν N **12** ενὀμένην R, ἡνομένην N τοῦτο (sc. *stannum*) ἀπ' αὐτης (sc. σελήνης) **13** αποχορίσι R, ἀποχωρήσ$^{\alpha\iota}$ειν N **14** ante (ἐστιν) αὕτη vacant in R lineae quattuor partes **15** αυτόν R **16** α. αφέρ(ὸν) R, α' ὥρᾳ ἀφαιρῶν N **18** τ. τρόπῳ expunxi **21** πιεσθε$^{\tau}$ν R **22** ἁλὸς bis scriptum R **23** αλμυρότιτα R, μελανότητα ἁλμυρότητα N **25** αυτόν R, αὐτῶ N **26** σταθμ(ὸν) ζ' RN; cf. p. 356, l. 25 δέκατον σταθμόν (sed p. 356, l. 12 σταθμοῦ ἕβδομον μέρος) **28** αυτοὺ R, αὐτῶν N

C, 17. Hanc hydrargyri mixturam, ut potui, paravi; cetera viro prudenti remitto. Sed hoc unum addo, borachium magis quam ceteras res coniunxtioni metallorum et coactioni utile esse; stannum vero, procul dubio, per sulphur, quod supra diximus, parari et dirigi et in meliorem statum adduci, et dealbari et corporari, nebulasque abicere, et stridorem deponere, et humiditatem adsumere, et nigritiem post fractionem temperare; et contra argentum quam maxime pugnare, priusquam praeparatum sit: sed, post ipsius praeparationem et medicationem, societate forti et amicitia cum ipso uti, et ita cum ipso coniungi, ut ab ipso vix aut nullomodo in cinere possit separari. Cuius pertractationis haec est via et ratio.

C, 18. Solve stannum, ipsique per trium psalmorum spatium ignem validum incende; et semel despuma, ut ex ipso supernatantem nubem auferas, donec hac ratione ob nubium detractionem omnino perficiatur. Tunc nubes tantum collige, et cum aceto fortissimo ad dimidium usque diei fervefac, et comprime; et, postquam bene presseris, cum eodem salis pondere tere, donec res omnis nigrescat. Tum salsedinem extrahe, ut supra dixi, atque ita duodecies fac salis pondus renovans. Tunc ad accipiendam medicinam pulcerrime paratum est. Ipsique sulphuris, quod diximus, septimam ponderis partem adde, sed ipsi solutum addens, et clausum tenens, donec solvatur et cum ipso corporetur.

C, 19. Ἴσθι δὲ ὅτι ὁ κασσίτερος μετὰ τὸ εὐτρεπισθῆναι πολλὰ δυσκόλως ἀναλύεται ἤπερ τὸ πρίν, διότι τιτανοῦται. μετάγεις δὲ τὴν τίτανον αὐτοῦ εἰς ἀνάλυσιν οὕτω.

C, 20. Λάβε βόραχος ὀλίγον, καὶ ἐπίρριψον πῦρ ἐπὶ κε|ράμου ἢ τέστου, ἕως οὗ φυσηθὲν ἀπάρξηται ἤδη χαλεπαίνειν. τότε λάβε αὐτό, καὶ λείωσον, καὶ ἀνάλυσον αὐτὸ μετ' ὀλίγου οἴνου, καὶ ἐν τούτῳ τῷ οἴνῳ ἐμβύθισον τὴν τίτανον, ἣν ἔσχες, καὶ τίθει ἐν πυρὶ χαύνῳ μετὰ χωνίου ἰσχυροῦ, ἔστ' ἂν ἐπάρῃ μικρὰν βράσιν, καὶ παρευθὺς φυσᾷ, ὥστε γνωσθῆναι. πρὸ τοῦ ἀναλῦσαι ἔξελε τὴν τίτανον ἐκείνην, καὶ πότισον μετὰ ὀλίγου χοιρείου στέατος, καὶ χαυνωθήσεται, καὶ λυθήσεται συντόμως. τότε σωμάτωσον μετὰ τοῦ προειρημένου θείου σταθμοῦ ἕβδομον μέρος, ὡς πρὸς τὸν κασσίτερον, καὶ εὑρήσεις κασσίτερον λευκὸν καὶ γλυκὺν καὶ καλῶς συντεθειμένον καὶ χωρὶς τρίξεως. F. 100.

C, 21. Ἡ δὲ σελήνη οὕτω εὐτρεπίζεται. πρῶτον καθαρθήτω μετὰ μολύβδου, καὶ μετ' αὐτοῦ ἀναλυθεῖσα τεθήτω ἐν σωλῆνι, καὶ πυρωθήτω δεκάκις. καὶ ἑκάστην φορὰν πύρωσε, ἕως οὗ γένηται ἐρυθρά, καὶ σβεννύσθω ἐν χοιρείῳ στέατι, καὶ μετὰ τὴν δεκάτην φορὰν γενέσθω πέταλα λεπτά, καὶ ἀναλυθήτω μετὰ ὀλίγου βοραχίου εἰς νέα πέταλα. καὶ οὕτως ἀναλυθεῖσα ἐκχυθήτω πάλιν εἰς πέταλα, καὶ ὡς πρῶτον σβεσθήτω δεκάκις ἐν ᾧ καὶ τὸ πρίν. καὶ μετὰ ταῦτα πάλιν λεπτῶς πεταλωθεῖσα λυθήτω μεθ' οὗ καὶ τὸ πρότερον. καὶ τρίτον λεπτῶς πεταλωθεῖσα ἀναλυθήτω. καὶ οὕτω γίνωσκε βεβαίως ἔχειν σελήνην γλυκυτάτην καὶ κεκαθαρμένην ἢ λελυμένην. πρόσθες δέκατον σταθμὸν τοῦ προειρημένου θείου, καὶ ἕξεις σελήνην τοῦ κασσιτέρου φίλην, ἥτις τοῦ προειρημένου κασσιτέρου ἢ μολύβδου ὀξύ|τητι λυθήτω. καὶ ἐπὶ πετάλων πεπυρακτωμένων σύμμιξον αὐτόν, καὶ συμμιγήσεται. σὺ χαῖρε αὐτοῖς, καὶ συγχαρήσονταί σοι. F. 100v.

4 βόραχ̊α R, βοράχιον N **5** ἠ(δι) χαλἐπένιν R, εἰ δὲ χαλεπαίνει N **6** λάβε αὐτὴν R, λάβε αὐτὴν N **16** αυ R (ὸ, τ supra) **17** ἑκάστι R, in extrema l. πυρώσεως ἕως RN **18** σβἐνὲσθω R **19** πέταλα N; in R signum lunulae simile **20** ἀναλυθήτω — πέταλα om. N **21** σβὲθυτω R, σβεθήτω N ἐν ᾧ ἔκαιε τὸ πρὶν N **22** πετελῶθίσα R **24** βεβαίως = *ferme* **29** σύ χερε̑ R, σύγχαιρε N συχαρἰσοντί σοι R

C, 19. Scias stannum, postquam praeparatum est, multo difficilius solvi quam prius, quia calcinatur. Ipsius autem calcem ita ad solutionem adducis,

C, 20. Sume exiguam borachii vim, et ignem vasi fictili seu testae impone, donec cum fremitu indignari inceperit. Tunc ipsum sume et tere, et cum exigua vini vi solve, et in hoc vinum calcem merge, quam habebas, et igni laxo in fusorio valido expone, donec aliquantum fervescat : et statim ita fremit ut animadvertas. Antequam solvitur, calcem illam extrahe et adipis suilli exigua vi imbibe ; et laxabitur, et cito solvetur. Tunc cum sulphure, quod diximus, corpora, et sulphuris pondus septimam stanni partem aequet ; et stannum album et dulce et bene compositum absque stridore invenies.

C, 21. *Argentum ita praeparatur.* Primum cum plumbo purgetur et cum ipso solvatur et solutum ponatur in tubo, et decies inflammetur. In singula autem vice incende, donec rubrum fiat, atque in adipe suillo extinguatur, et post decimam vicem fiat petala subtilia, et cum parva borachii vi in nova petala solvatur. Atque ita solutum rursus in petala effundatur, atque ut prius in adipe extinguatur. Postea in subtilia folia rursus adduc, et cum borachio solvatur ut prius. Et tertium in petala subtilia adducatur, et solvatur. Atque ita scias ferme tibi esse argentum dulcissimum et purgatum seu solutum. Adde sulphuris, quod diximus, decimam ponderis partem, et argentum stanni amicum habebis : et hoc argentum stanni, quod diximus, seu plumbi acie solvatur, et petalis inflammatis impositum commisceatur : et commiscetur. Tu ipso gaude, et tecum laetabuntur <homines>.

C, 22. Ταύτην τὴν ὁδὸν ἠνέῳξα καὶ ἐβάδισα, δι' αὐτῆς διῆλθον καὶ εἰς τὸ τοῦ ἐφετοῦ τρίτος μετὰ χαρᾶς ἔφθασα, εἰ καὶ πρὸς ἐλάττωσιν, διότι ἔθηκα ἀρσενίκιον διὰ τὸ μὴ ἔχειν θεῖον. ἴσθι λοιπὸν ὅτι τοῦτο τὸ κεφάλαιον πλατύ ἐστι καὶ ἀληθές.

C, 23. Θεωρήσαντες ὅπως ἔστι χρῆσθαι τῷ θείῳ ἐπὶ ἑρμῆν καὶ κασσίτερον, νῦν ἐθεωρήσαμεν καὶ ὅπως ἔστι χρῆσθαι αὐτῷ ἐπὶ χαλκόν. λάβε χαλκόν, καὶ εὐτρέπισον αὐτόν, ὡς εἴρηται ἐν τῷ περὶ χαλκοῦ κεφαλαίῳ, καί, εὐτρεπισμένου, λῦσον, καί, λελυμένου αὐτοῦ, ἐπίβαλε δέκατον μέρος ἐκ τοῦ προειρημένου θείου, καὶ εἰσελεύσεται παραυτά. καὶ τότε ἐπίρριψον ἐπὶ σωλῆνος στέατος χοιρείου ἐγκεχωσμένου, καὶ εὑρήσεις τὸν χαλκὸν εἰς ὀλίγον εἰς ἀργύρου ποιότητα μεταπεπηγμένον καὶ σχόντα λευκότητα παρ' ὀλίγον καὶ γλυκύτητα τὴν εἰς ἀνάλυσιν καὶ σφυρίον καὶ σύγκρασιν καλήν, ὥστε μὴ ποιεῖν σκωρίαν πυρούμενον, καὶ τῇ σελήνῃ μεμιγμένος ἰσχυρῶς ἀναμίγνυται, καὶ μόλις διὰ στάκτης ἀνασπασθήσεται δι' αὐτῆς, ἥτις παρὰ βραχὺ εἰς τὴν φύσιν αὐτοῦ συστραφεῖσα νέφη μέλανα οὐ ποιεῖ πυρουμένη, καὶ πυρουμένη ἐρυθραίνεται ὅλη. τοῦ θείου τούτου ἡ τιμιότης οὐ μόνον εἰς ἄργυρον ἐνεργεῖ, ἀλλὰ καὶ εἰς χρυσὸν περισσοτέρως· ὅταν γὰρ ὀφειλομένη (?) εὐτρεπισθῇ ἡ σελήνη βεβαίως, διὰ τούτου τοῦ θείου μετάγεται εἰς χρυσόν.|

C, 24. Λείωσον θεῖον ὅσον θέλεις λεπτοτάτως μετὰ ὕδατος, καὶ ποίησον αὐτὸν βράσαι ἐν χύτρᾳ μεθ' ὕδατος διὰ πυρὸς χαύνου ἡμέρας ἑπτὰ ἢ ἕως οὗ ὅλη ἡ ἐνοῦσα ἐν αὐτῷ κιτρινότης ἀναχωρήσῃ χαύνῳ πυρί. βρασάτω δὲ ἐν οὔρῳ, ὅ ἐστι

2 τρι R (τ supra) 5 post ἀληθές vacat in R linea tota ad recipiendum titulum idonea 6 in marg. χαλκ(ὸς) ♀ R δεῖ χρῆσθαι N et l. 7 7 ἐθεώρίσαμεν R (ex ital. " *consideriamo* „ (?) quae vox et indicat. et coniunct. fungitur munere); θεωρήσωμεν N 9 cf. cap. XXXIII ηὐτρεπισμένον N 10 δεκάτου μέρους RN 12 σολινας R, σολῆναι N στεατου R 16 μιγμένην R, μεμιγμένην N 19 μέλένα R, μέλαινα N αὐτῆς N (οὗ supra) ὑλὴ R, ἡ ὕλη et in marg. ὅλη N 24 ὅλον θέλης N 25 μδα R (ευ τ supra), μετὰ ὕδατος N 26 εν αυτῷ R, αὐτοῦ et in marg. ἐν αὐτῷ N

C, 22. Hanc viam munivi et emetitus sum, hac progressus sum, et ad propositum cum gaudio tertius perveni, etsi ad diminutionem, quia arsenicum posui, cum sulphur non haberem. Ceterum scias hoc caput apertum esse et verum.

C, 23. Vidimus qua ratione in hydrargyro et stanno utamur sulphure oporteat; nunc videamus et qua ratione ipso in aere utamur oporteat. Sume aes, et praepara, ut dictum est in capite de aere; et, cum praeparatum sit, solve: cum solutum sit, adice sulphuris, quod diximus, decimam partem; et statim ingredietur. Tunc pone in tubo, in quo adipem suillum collocasti; et aes invenies paulatim ad argenti qualitatem conversum et compactum eodemque quasi candore et dulcedine (ad solutionem et malleum) et bona commixtione praeditum ita, ut inflammatum scoriam non efficiat, et cum argento mixtum valde commisceatur, et vix per cinerem ab ipso separetur; ipsiusque quasi adsumpta natura, nigras nubes non efficiat, cum inflammetur; et, cum inflammetur, rubrum fiat omne. Huius sulphuris pretium non tantum ad argentum operatur, sed praetermodum etiam ad aurum. Cum enim apte (?) et firmiter argentum praeparetur, huius sulphuris gratia ad aurum transducitur.

F 101

C, 24. Tere sulphuris quantum vis minutissime cum aqua, et cura fervescat in olla cum aqua per ignem laxum dies septem, vel donec citrinitas omnis, quae ipsi insit, resiliat laxi ignis causa. Fervefiat autem [in urina, quae

φύσεως εὐκράτου, καὶ οὕτω δουλευθήτω ἐλαφρῷ πυρί, ὥστε μή, διὰ μικρὰν δύναμιν πυρός, ἐξελθεῖν τι ἐκ τῆς λιπάνσεως, ἀλλ' ἢ μόνον τὸ χρῶμα, ἤγουν τὴν κιτρινότητα. ἀνακαινιζέσθω δὲ πάντοτε τὸ οὖρον, διότι συντόμως ξηραίνεται, καὶ οὕτως ἀνακαινιζέσθω ἀεὶ ἕως οὗ ὅλον τὸ χρῶμα παρέλθῃ ἐν τῷ οὔρῳ. αἱ ὑγρότητες δὲ πᾶσαι αἱ ἐξερχόμεναι μετὰ τοῦ χρώματος ὁμοῦ τιθέσθωσαν ἐν ἀγγείῳ μεγάλῳ, καὶ κατασταλαχθήτωσαν ὁμοῦ δι' ἑνὸς ἀγγείου μετὰ πυρὸς χαύνου, ἕως οὗ ἄρξηται ἐξέρχεσθαι τὸ ὕδωρ κίτρινον καὶ ἐξ ἡμισείας ἐρυθρόν, διότι ἐν ἐκείνῳ ἐστὶν ἡ βαφή, καὶ ἐκεῖνο ζητοῦμεν ἢ τέως μέρος αὐτοῦ. τὸ δὲ ὕδωρ τὸ πρῶτον ἐξελθὸν λευκὸν οὐκ ἔστιν ἡμῖν χρειῶδες· καὶ κατα-στάλαξον ἕως τῆς μελαίνης τρυγίας, καὶ τὰς τρυγίας τὰς ἐναπο-μενούσας ἐν τῇ κολοκύνθῃ φύλαξον ἀνὰ μέρος, καὶ φύλαξον τὸ ὕδωρ τὸ κίτρινον καὶ ἐρυθρόν, καὶ φύλαξον ὁμοῦ, καὶ μῖξον, καὶ καταστάλαξον ἕως τῆς τρυγὸς τῆς μελαίνης, ὡς τὸ πρίν, καὶ ἐκεῖνο φύλαξον εἰς ἄλλο μέρος, ὅτι ἐν αὐτῷ ἔστιν ἡ βαφή, καὶ τοῦτό | ἐστι τὸ πῦρ τὸ θεῖον, καὶ οὗτός ἐστι λόγος κρυφιώτατος. F. 101v

C, 25. Τοῦτο οὖν τὸ πῦρ βάλε εἰς μέρος, καὶ τὸ ὕδωρ, ὅ ἐστιν ἐρυθρὸν καὶ κίτρινον, καταστάλαξον ἐκ δευτέρου, καὶ φύλα-ξον. τὸ οὖν εἰρημένον πῦρ βράσον ἐν ὄξει ἰσχυρῷ ἅπαξ κατεσταλαγμένῳ μετὰ πυρὸς συγκεκρασμένου, ὅπως ὅ τι ἂν εἴη ἐκεῖ τῆς κατακαύσεως, καὶ τὸ ἐλάχιστον, καταλυθῇ. καὶ μετὰ τὴν βράσιν καὶ τὴν ἕψησιν μικρόν τι ἐξ αὐτοῦ ξηρὸν ἐπὶ ἀναλελυμένην σελήνην ἐπίρριψον, ἵν' εἰ μὲν μελανώσῃ ἢ κατακαύσῃ, ἴσθι ὅτι μετὰ πυρὸς ἄλλο τι ἐξέβαλες. εἰ δὲ ἐρυ-θραίνῃ αὐτὴν ἢ κιτρινίζῃ χωρὶς κατακαύσεως, καλῶς γέγονεν. ἤγουν εἰ ἐκεῖ τι κατακαύσεως <ἐναπέμεινεν,> ἕψε τὸ πῦρ μετὰ ὄξους, ἕως οὗ ἐκδαπανηθῇ. τότε πῦρ ξηρὸν καὶ ηὐτρεπισμένον μῖξον, καὶ κήρωσον, ὡς εἴρηται, μετὰ τριπλασίονος τοῦ ἀνημ-μένου θείου τοῦ ηὐτρεπισμένου καὶ λευκασμένου καὶ καθαρῶς

1 δουλεὐθἰτω R, ubi incertum δι an δ legendum sit, cum litterae δ lineolae duae adpictae sint, δουλευθήτω N **2** εξέλθὴν R, ἐξέλθῃ N **4** τὸ ὕδωρ διότι N **12** μελένης R, om. N τοῦτο (e ου?) ἐ. λόγος RN **19** λάβε RN **22** κατὲσταλμένο R, κατεσταλαγμένον N συγκέκρασμένου RN αν ἴοι R, ἀνύοι et in marg. ὅπως ἂν εἴη N **25** επίριψῶν εἰν ἢ μὲν R, καὶ ῥίψον ἵνα εἰ μὲν N μελανόσι R **28** ἐναπέμεινεν addidi **30-31** ανειμένου R, εἰρημένου N **31** λελευκασμένον N

bene temperatae naturae sit, et levi igne in servitutem adducatur, ut ob parvam ignis vim non pinguedinis aliquid, sed color tantum, citrinitas scilicet, egrediatur. Renovetur omnino urina, quia cito siccatur, atque ita renovetur semper, donec color omnis in urinam transeat; sed humores omnes, qui cum colore egrediuntur, una in vase magno ponantur, et per vas unum, ignis laxi ope, una destillentur, donec aqua citrina semirubra egredi coeperit : quia in hac aqua est tinctura, et hanc aquam quaerimus, vel saltem ipsius aliquantum. Aqua autem, quae prior alba exit, nobis utilis non est : hanc aquam usque ad nigram faecem destilla, et faeces, quae in cucurbila maneant, separatim serva ; et aquam citrinam et rubram serva, et una serva, et misce; et usque ad nigram faecem, ut prius, destilla; sed hanc aquam separatim serva, quia in ipsa tinctura inest : et hic est ignis *theius*, et hic est sermo maxime occultus.

C, 25. Hunc igitur ignem separatim serva; et aquam rubram et citrinam iterum destilla, et serva. Ignem igitur, quem diximus, fervefac in aceto forti semel destillato ignis modici ope, ut, quod in eo insit ustionis (et pauxillum) solvatur. Post aestum et cocturam, parvam ipsius vim argento soluto infunde, in quo si nigrum quid efficiat seu urat, scias per ignem a te et aliud ablatum esse. Si vero argentum rubrum vel citrinum absque ustione efficiat, bene res processit. Si illi igitur ustionis quid manserit, ignem cum aceto coque, donec evanescat. Tunc ignem siccum et praeparatum misce, et cera, ut dictum est, cum tripla vi sulphuris incensi praeparati et dealbati,

προστιθεμένου τῷ σταθμῷ ἁλὸς ἀμμωνιακοῦ. ταῦτα οὖν τὰ τρία κήρωσον, καὶ συμπλήρωσον, ὡς εἴρηται ἐν τῇ συνθέσει τοῦ λευκοῦ, καὶ λῦσον καὶ σύμπηξον, καὶ ἐπίρριψον ὅσον θέλεις εἰς ὀφθαλμὸν ἐπὶ σελήνης προηυτρεπισμένης, ὡς ἐν τῷ κεφαλαίῳ αὐτῆς εἴρηται. καὶ ἀλλοιωθήσεται εἰς χρυσὸν κάλλιστον πάσης δοκιμῆς ἀνεχόμενον.

C, 26. Τινὰ βιβλία λέγουσιν, ὃ καὶ ἀξιοπιστότερον ἡγοῦμαι, ὅτι τελειότερον ἂν εἴη ἐλεξίρ, ἐὰν τὰ τέτταρα | ταῦτα ἐξ ἴσου F. 102. τεθεῖεν, ἤγουν θείου καθαρωτάτου καὶ λευκοτάτου μέρος ἕν, τοῦ εἰρημένου πυρὸς μέρος ἕν, καὶ ταῦτα τριφθήτωσαν ὁμοῦ μετὰ ἑνὸς μέρους ἁλὸς ἀμμωνιακοῦ τρὶς ἀναβιβασμένου καὶ τοῦ εἰρημένου ὕδατος τοῦ ἐρυθροῦ τοῦ ἑκατέρωθεν καταβιβασμένου. ἕκαστον δὲ τούτων τῶν συσκευασμάτων καλὸν νομίζω καὶ βέβαιον. καὶ οὗτοι λέγουσιν οἱ βίβλοι, ὅτι ἡ γλισχρότης τοῦ θείου οὐ δύναται ἀφαιρεθῆναι ἐξ αὐτοῦ διὰ μόνης τῆς καταφθορᾶς τῆς καύσεως, τουτέστιν βραζομένων πραγμάτων ξηραντικῶν, ἀλλὰ διὰ τῆς ἐκβολῆς, ἥτις γίνεται βράζοντες μετὰ ὑδάτων ὀξέων ἢ ἐλαίου, ἕως οὗ ἐκβῇ ἐξ αὐτῶν ἡ ὑδαρότης ἡ ὑπερνηχομένη ἐκ τῆς ἐλαφρίας αὐτῆς· ὅ ἐστιν ἀληθές.

C, 27. Εἰπόντες ἀνωτέρω περὶ θείου, νῦν περὶ ἑρμοῦ ὥσπερ ἀρχικωτέρου τινὸς καὶ μετ' ἐκεῖνον ἀξιολογωτέρου τῶν ἄλλων. <ὁ> ἑρμῆς οὖν ἐστι σῶμά τι σύνθετον ἐκ γῆς λεπτῆς θειώδους καὶ ὕδατος ἰσχυρῶς προσμεμιγμένου· ἡ οὐσία δὲ αὐτοῦ ἡ γεώδης, καθαρθεῖσα ἀπὸ τῆς παλαιᾶς γεώτητος τῆς θειώδους καὶ ὑδατώδους, ἕτοιμός ἐστι πρὸς ἐλεξίρ, ἤγουν εἰς ἐργασίαν χρυσοῦ καὶ ἀργύρου καὶ τελείαν συμπλήρωσιν. ὡς γὰρ τὸ αἷμα

2 εἰρειν^{τ} R, εἴρηται N **5** cf. cap. XI αλυοθίσετε R **7** ἡγοὺμ^{ε} R **10** τριφθὶτοσαν R, τριφθήτωσαν (e lat. " *terantur* ", quae forma et condicionalis et imperativi est) **13** συσ(και)βάσμὰτῶν R **14** οὗτοι... οἵ βιβλοί e lat. " *hi libri* " υσγλυχρῶτ(ης) R, ἡ γλισχρότης N, ubi ante γ scriptum erat σ, postea duabus lineolis deletum **17** βρὰζωντος R, βράζοντες^{ος} N αὐτοῦ^{ῶν} N **19** ειπερνιχομένὴ R, ἀπερχομένη N (Neapolit. scriba α, non ει, legit) **21** ante hanc l. vacant in R lineae tres partes ad recipiendum titulum idoneae ἀνωτέρω] cf. cap. C, 10 sqq. **22** εκεῖνου R, ἐκεῖνον N **23** σῶματικ(ὸν) σὺνθετων R, σωματικῶν συνθέτων N θειόδου R **25** γεὼδες R

salique ammoniaci ponderi additi. Haec igitur tria tere, et comple, ut in albi compositione dictum est; et solve, et compinge; et infunde quantum vis — ut oculis tuis iudicare potes — argenti praeparati, ut in capite de ipso dictum est; et in aurum perfectum, omnibus explorationibus idoneum, mutabitur.

C, 26. Libri quidam dicunt (quod magis fide censeo dignum) perfectius fortasse elexir esse, si harum quattuor rerum eadem pondera ponantur, sulphuris scilicet purissimi et maxime albi pars una; ignis, quem diximus, pars una; et haec cum salis ammoniaci ter elevati et aquae, quam supra diximus, rubrae ex utroque deiectae, parte una terantur. Hos omnes apparatus pulcros esse duco et firmos. Ipsique libri dicunt sulphuris viscositatem ab ipso auferri non posse per solum ustionis interitum, rerum scilicet siccantium fervefactarum, sed per expulsionem, quae fit, si cum aquis acribus seu oleo fervefacias, donec ex ipsis humiditas ob levitatem suam supernatans egrediatur. Quod verum est.

C, 27. Cum supra de sulphure locuti simus, nunc de hydrargyro dicendum est, tamquam de re primaria et, post sulphur, maxime digna, quae de ipsa loquamur. Hydrargyrus igitur est res composita e terra minuta, sulphurea et aqua, valde inter se commixtis. Ipsius terrea substantia cum a vetere, sulphurea et aquosa terreitate purgata sit, ad elexir parata est, ad auri scilicet et argenti praeparationem et perfectam consummationem. Ut enim mulieris sanguis

τῆς γυναικὸς τῇ δυνάμει τοῦ ἀνδρῴου σπέρματος συμπήγνυται εἰς ἀνθρωπίνου σώματος συσκευήν, συντρεχούσης πέψεως τελείας, οὕτω καὶ ἐν τῇ ἐργασίᾳ τῆς τέχνης δεῖ λοιπόν, ὥσπερ εἴρηται ἐν τῇ ἐργασίᾳ τοῦ θείου, ἀναβιβάσαι αὐτὸν τὸν τεχνίτην ἐν ἀγγείῳ τεχνικῷ, ὃν τρόπον ἀναβιβάζει αὐτὸν ἡ φύσις ἐν τῷ φυσικῷ ἀγγείῳ, ὅ ἐστι ἀγγεῖον συνέχον τὸ μέταλλον, ὅπως καθαρθῇ ἐξ ὑγρότητος καὶ περισσῆς θειότητος.

F. 102v.

C, 28. Ἰστέον ὅτι ὁ ἄργυρος σῶμά ἐστιν καθαρὸν ἔλαττον ἤπερ ὁ χρυσός, καὶ ἔστιν ἀνάλογος τῇ σελήνῃ, ὅτι ἡ σελήνη ἐλάττονος φωτός ἐστιν ἤπερ ἥλιος, καὶ ὁ σταθμὸς αὐτῆς ἐστιν ἐλάττων τοῦ σταθμοῦ τοῦ χρυσοῦ, καὶ συμφθείρεται ὁ ἄργυρος ἐν χώματι καὶ ὑγρῷ τόπῳ, καὶ ἐν πυρὶ ἐλαττοῦται, καὶ ὁ νόστος αὐτοῦ ἐστιν ὄξινος, καὶ καθόλου πολλὰ συμβαίνουσιν αὐτῷ ἐκ τοῦ θείου, πλὴν ἄνευ τοῦ χρυσοῦ αὕτη ἐστὶ κρείττων πάντων τῶν σωμάτων, καὶ αὕτη γειτονεύει τὸν χρυσὸν πλέον τῶν ἄλλων σωμάτων. τὰ γὰρ ἐνδότερα τοῦ χρυσοῦ εἰσιν ἐξώτερα τοῦ ἀργύρου, καὶ τὰ ἐξώτερα τοῦ ἀργύρου ἐνδότερα ἐκείνου. καὶ ἡ φύσις αὐτοῦ ψυχρὰ καὶ ὑγρά, καὶ μίγνυται τῷ χρυσῷ καὶ χαλκῷ, καὶ λαμβάνει βαφήν, καὶ ἐξ αὐτοῦ ποιοῦμεν ἐξὶρ λευκὸν καὶ ἐρυθρόν, καὶ μετ' αὐτοῦ ποιοῦμεν χρυσόν. πλὴν τὰ θεῖα καὶ ὁ κασσίτερος καὶ ὁ σίδηρος ἐχθροί εἰσιν αὐτοῦ, καὶ ἐπιφέρουσιν αὐτῷ κακὴν φύσιν, καί εἰσιν αὐτῷ ἀσύμβατα. τὸ θεῖον δὲ μόνον ἄρτυμά ἐστιν τοῦ ἀργύρου, τοῦ μολύβδου καὶ τοῦ χαλκοῦ, τὸ δὲ ἀρσενικὸν χρυσοῦ, κασσιτέρου, μολύβδου καὶ σιδήρου.

C, 29. Ἴσθι τοιγαροῦν ὅτι ὁ ἄργυρός ἐστι τὸ σῶμα τοῦ ἐλεξὶρ τοῦ λευκοῦ καὶ μεγάλου ἔργου, καὶ γίνεται ἔργον ἐξ αὐτοῦ καὶ κασσιτέρου, καὶ τὸ ἀρσενικόν ἐστιν ἡ ψυχὴ αὐτοῦ, καὶ ὁ | ἑρμῆς ἐστὶ πνεῦμα αὐτοῦ, καὶ τὸ ἀμμωνιακὸν ἅλας ἐστὶν δουλεῦον αὐτῷ καὶ εὐτάκτως συνδέον. φήμη δὲ τῆς ἐξαρτύσεως αὐτοῦ ἐστιν, ἵνα λύσῃς τὸν ἄργυρον ἐν χωνίῳ, καὶ

F. 103.

ll. 8 sqq. cf. Avic. 628^1, 18 sqq.

1 ανδρόοῦ R 2 ανίνου R, ἀνθρωπείου N 3 cf. cap. XLIX. 1, (pag. 132, 7) 8 ἐλατῶν R, ἐλαττων N 9 ἠπερ [symbol] R, ἤπερ 6 N 11 σταθμοῦ τοῦ [symbol] RN συνφθίρετε ο ☾ R, συμφθειρέτω ὁ ☾ et in marg. ἡ N 14 ἀυτι R, αὐτὴ N (scil. σελήνη = ἄργυρος 15 τὸν [symbol] R, τοῦ [symbol] N 22 αυτὼν R, αὐτοῦ N ἀποφέρουσιν RN 23 ἀρτιμὰ R, ἄρτημά N

ob virilis seminis vim in humani corporis compaginem compingitur, cum perfecta coctio concurrat, ita et in artis operationibus oportet (ut dictum est in sulphuris praeparatione) ipsum elevet artifex in vase artificiali, ea ratione, qua ipsum in naturali vase elevat natura : quod vas metallum ita cohibet, ut ab humiditate et superflua sulphureitate purgetur.

C, 28. Sciendum est argentum corpus esse minus purum quam aurum, et congruens esse cum luna, quia lunae minor lux sit quam soli; et argenti pondus minus esse quam auri pondus; et argentum in inhumatione et in loco humido corrumpi, et in igne minui; ipsiusque reditum acrem esse; et omnino multa ipsi evenire a sulphure : at, praeter aurum, argentum optimum omnium corporum esse atque auro magis propinquum quam cetera metalla. Quae enim interiora in auro sint, ea in argento exteriora esse, et quae in argento exteriora, ea interiora in auro. Ipsius naturam frigidam et humidam esse, et cum auro atque aere misceri, et tincturam accipere : atque ex ipso elexir album et nigrum fieri, et ipsius ope aurum fieri. Sed sulphura et stannum et ferrum ipsi inimica esse, ipsique malam naturam inferre, et cum ipso non coire. Sulphur tantum argenti condimentum esse et plumbi et aeris; arsenicum vero auri, stanni, plumbi et ferri.

C, 29. Scias igitur argentum esse corpus albi elexir et magni negotii, et negotium ex ipso et stanno fieri. Arsenicum vero ipsius anima est, et hadrargyrus ipsius spiritus; et sal ammoniacum ipsi inservit, ipsumque apte coniungit. Ipsius veri condimenti fama est oportere argentum in fusorio solvas, et

θήσεις μετ' αὐτοῦ ἴσον κασσίτερον, καὶ μεθ' ὃ ψυχρανθῇ, λειώσεις αὐτὸν καὶ κρύψεις.

C, 30. Λῦσον κασσίτερον, καὶ βάλε αὐτὸν πολλάκις εἰς ὕδωρ ἁλός. εἶτα θὲς ἐν ἑκάστῃ λίτρᾳ ἅλατος δραχμὴν μίαν θείου ἢ ἀρσενικίου. εἶτα θέρμανον τὸν ἄργυρον, καὶ σβέσον αὐτὸν ἐν τῷ αὐτῷ ὕδατι. τότε ὁ ἄργυρος τιτανωθήσεται, καὶ μελανωθήσεται. τότε μετ' αὐτοῦ ἐργάζου μετ' ἅλατος λελυμένου, καὶ ἔκζεσον αὐτὸν ἐν φούρνῳ ἁπτομένῳ. εἶτα ἀπόπλυνον ἀπὸ τοῦ ἅλατος, καὶ τότε γενήσεται λευκὸς καὶ καθαρός.

C, 31. Ἕψησον θεῖον εἰς ὕδωρ καὶ ἅλας, καὶ λῦσον μετ' αὐτοῦ ῥίνισμα ἀργύρου, ἤγουν πότισον, καὶ μεινάτω ἐν φουρνέλῳ νύκτα μίαν. τότε πλῦνον, καὶ κάθαρον ἀπὸ τοῦ ἅλατος, καὶ ὅταν χρεία γένηται, τότε γενήσεται ἐξὶρ λευκὸν ὡς τίτανος· καὶ γενέσθω τρίς.

C, 32. Λάβε ῥίνισμα ἀργύρου ὅσον θέλεις, καὶ ἄλειψον αὐτὸ μετὰ ἐλαίου, καὶ τίθει αὐτὸ εἰς ἀγγεῖα χρυσοχοϊκὰ ἐπὶ ἀνθράκων καὶ πυρός. καὶ ὅταν ἄρξηται συμπήγνυσθαι, ἐπίθες ὀλίγον θείου, ἕως οὗ ὅλον κατάλευκον γένηται· τέφραν τότε ἄλεσον μετὰ ἅλατος ἀναλελυμένου, ὡς προέφημεν. ἔστι δὲ λευκὴ τέφρα, θεοῦ θέλοντος.

C, 33. Ποίησον ἀργύρου φύλλα λεπτότατα, καὶ θὲς αὐτὰ ἐπὶ ἀνθράκων, ἕως οὗ ἐρυθρω|θῶσιν, εἶτα σβέσον ἐν ἐλαίῳ. τοῦτο ποίησον, ἕως ἂν ὦσι μέλανα τὰ πέταλα. τότε ἄλεσον μετὰ ἅλατος ἀναλελυμένου, ὡς προείρηται, καὶ κρύψον. εἶτα F. 103v

ης
1 θίσ(ης) R, θήσεις N μετ αυτὸν R, μετ' αὐτοῦ N μεθὼ R, ἀφ' οὗ N
2 ☊ (= λειώσης aut λείώσεις) R, τρίψον N κρύψεις R, κρύψον N
3 <Λ>ὑσ(όν) R; exhibet igitur novi capitis initium 9 post καθαρός vacat in R linea tota ad recipiendum titulum idonea 11 πότισ(ὸν) R, πόσον τι N μινάτο R, μεινάτων N 13 γενήσεται et in marg. γενέσθω N 14 τρίς] vacant in R huius lineae quattuor partes ad recipiendum titulum idoneae
o
16 χρισοχικὰ R, χρυσοχωικά N 18 τέφρα, τότε ʽέλασ(ὸν) R, φράττεται ἔλασσον N 19 (ἔστιν) R, ἔσται N 20 θέλοντος] vacant in R linea tres partes ad recipiendum titulum idoneae 21 φίλα R, φύλλα N; in archetypo erat fortasse □ = πέταλα; cf. p. 368, l. 12 et l. 18 23 μελένα R, μέλαινα N 24 καὶ κρίψων R, καὶ τρίψον N

cum ipso idem stanni pondus ponas, et, cum frigefactum sit, teras et condas.

C, 30. Solve stannum, et saepe in salis aquam merge. Postea in unaquaque salis litra drachmam unam sulphuris seu arsenici pone. Postea argentum calefac, et in eadem aqua extingue. Tunc argentum calcinabitur et nigrefiet. Tunc ipsum sale soluto pertracta, et in furno accenso fervescat cura; postea e sale elava; et tunc album et purum fiet.

C, 31. Coque sulphur in aqua et sale, et cum ipso argenti ramentum solve seu imbibe; et in furnello noctem unam maneat. Tum lava et purga e sale; et cum usus venerit, tunc elexir album, calcis simile, fiet. <Haec pertractatio> fiat ter.

C, 32. Sume ramenti argenti quantum vis, et oleo ungue, ipsumque in aurificum vase carbonibus et igni impone. Cum compingi coeperit, sulphuris aliquantum adde, donec omne subalbum fiat. Tunc cinerem cum sale soluto mole, ut supra dictum est, et conde. Et est cinis albus, Deo volente.

C, 33. Fac argenti folia subtilissima, et carbonibus impone, donec rubrefiant; postea in oleo extingue. Hoc fac donec petala nigra sint. Tunc mole cum sale soluto, ut supra dictum est, et conde. Postea

λάβε τούτου τοῦ ξηρίου μέρος ἕν, καὶ ἀρσενικίου ἴσον, καὶ κήρωσον αὐτὸ μετὰ στυπτηρίας ἐν οὔρῳ λελυμένης καὶ ἰσοστάθμου ἁλὸς ἀμμωνιακοῦ, καὶ δευτέρωσον τὴν τρίψιν καὶ τὴν πότισιν, ἕως οὗ τὸ ὅλον κηρωθῇ. καὶ τότε τίθει ἐκεῖνο ὅλον εἰς φλοιοὺς ὠῶν ὀρνίθων καινῶν, καὶ πηλῷ σοφιστικῷ περιχρίσας τίθει ἐπὶ τὸ στόμα αὐτοῦ ἄλλους φλοιοὺς ὠῶν, καὶ πηλῷ σοφιστικῷ τὴν μῖξιν περίχρισον. εἶτα τὰ ὠὰ βάλε ἐν πυρὶ κόπρου κτήνους ἢ ἐν ἀνθρακιᾷ σύμβαλον θερμῇ ἀλλὰ καλῶς εὐκράτῳ ἡμερόνυκτον ἕν. εἶτα ἔξελε, καὶ εὑρήσεις σελήνης πεπηγυίας δραχμὴν μίαν. ἐπίχυσον ὀκτὼ ὀγ. κασσιτέρου, καὶ γενήσεται ἄργυρος κάλλιστος.

C, 34. Λάβε ἐκ πετάλων ἀργύρου μέρος τι καὶ ἀρσενικοῦ τέταρτον μέρος, ὥστε κατασκευάσαι τὸ σῶμα, καὶ σύναψον αὐτὰ αὐτῷ, καὶ τίθει ἐν ὠῷ ὀρνίθων κεχρισμένῳ πηλῷ σοφιστικῷ, καὶ τίθει ἐν χύτρᾳ, περικυκλῶν τὸ ἐν αὐτῇ ὠὸν μετὰ στάκτης, ἵνα μὴ γυροῖ, καὶ τὴν χύτραν θὲς ἐν φούρνῳ ἀρτοποιητικῷ ἡμερόνυκτον ἕν. εἶτα ἐξάγαγε, καὶ κήρωσον αὐτὸ μετὰ ὕδατος στυπτηρίας καὶ τῶν φύλλων τοῦ ἀργύρου, ἕως οὗ ἴδῃς αὐτὸν ὡς στέαρ. τότε τίθει αὐτὸν ἐπὶ κασσίτερον καὶ ἔστιν ἄργυρος, θεοῦ θέλοντος.

Εἰ δὲ ἀργύρου ξηρίον σμίξεις μετὰ ἀρσενικοῦ, καὶ μετὰ ταῦτα ἀλέσεις καὶ εἰς τὸ καῆναι θήσεις τὸ ἔργον σου, πολλῷ κρεῖττόν ἐστι, καὶ τίθει μεθ' οὗ ἂν θελήσεις σώματος, καὶ πληρώσεις τὴν ἐπιθυμίαν σου. |

C, 35. Ὁ σίδηρος ἀνάλογός ἐστι τῷ Ἄρει, καὶ ἡ φύσις αὐτοῦ ἐστι ψυχρὰ καὶ ξηρά, γίνεται δὲ ἐξ αὐτοῦ ὁ ἄργυρος καὶ χρυσός. καὶ ῥητέον πρότερον πῶς οἰκονομεῖται ἡ σελήνη. F. 104.

2 μετὰ bis scriptum R λελυμένη R, λελυμένῳ N **5** (και)νοὶς R, καινῶν N **8** κόπρους κτίνους R συνβὰλ(ον) R, σύμβαλον N θερμὴν (ῆ) N **10** πέπιγίας οὐ ☾ α' R, πεπηγυίας οὐ ☾ α' N ἐπιχυσον R, ubi incertum χ an λ legendum sit; ἐπίλυσον N **11** καλίστος R; sequitur in R linea vacua ad recipiendum titulum idonea **12** <Λ>άβε R, βάλε N **13** κατασ(και)βάσε τῶ σῶ in extrema l. R, κατασκευάσαι τὸ σῶμα N **14** ωὼὼ R **16** εγιρὴ R, γείρῃ et in marg. καταστρέψῃ N; in N habes igitur *glossema* **19** αὐτὼ ὡς N **21** σμίξις R, μίξεις N **23** θέλσεις R **25** αέροι R, ἀέρι N **27** ρεἰτέον α' R, ῥητεὸν πρῶτον N οικὸνὸμιη (τ) ☾ R, οἰκονομεῖται ἡ ☾ N

huius xerii partem unam sume et arsenici eamdem vim; atque haec ipsa cum alumine in urina soluto et cum eodem salis pondere cera; et contritionem et imbibitionem repete, donec res omnis cerata sit. Tunc rem omnem in recentium ovorum gallinarum corticibus pone; ungue luto sophistico, et ipsius ori alios ovorum cortices impone, lutoque sophistico hanc mixturam ungue. Postea ova in ovium fimi igne seu in pruna modice calida unius diei noctisque spatium pone. Postea extrahe, et argenti compacti drachmam unam invenies. Stanni octo uncias infunde; et argentum pulcrum fiet.

C, 34. Sume argenti petalorum partem quamdam et arsenici partem quartam, ut corpus constituas; ipsaque coniunge, et in gallinarum ovo, quod luto sophistico unctum sit, pone; et in olla colloca, ibi ovum cinere circumdans, ne se vertat: et ollam in furno pistorio diei noctisque spatium pone. Postea extrahe, et cum aluminis aqua argentique foliis cera, donec rem adipis speciem sumpsisse videas. Tunc rem stanno impone; et argentum est, Deo volente,

Si vero argenti xerion cum arsenico commiscueris, et postea molueris, atque negotium tuum urendum curaveris, multo melius est : cum quovis corpore compone, et desiderium tuum complebis.

C, 35. Ferrum Marti congruens est; ipsiusque natura est frigida et sicca : ex ipso autem argentum et aurum fit. Dicendum prius est qua via et ratione ad argentum pertractetur.

